Max. 1 p. 3 S.; Max. 1.7; Max. 1 724 A–B; Max. 1 p. 9 W (ap. *Flor. Lips.*); Ant. 1.7 792 C; Jo. Dam. 1380 D; Jo. Georg. G 1002 O.; *Corp. Par.* f. 44^{r} (= Basilius 71 K.)
= Bas. *Ep.* 277 (*PG*, 32 1013 B); = *Mor.* 1.7 (*PG*, 32 1129 D)

73. Βίας ὁ σοφὸς εἶπε 'βραδέως ἐγχείρει τοῖς πράγμασιν, ἐγχειρήσας δὲ πράττε βεβαίως.'

[WBVLPC Al.] Δίας W | ἐγχειρείσας BP

Max. 1 p. 12 S.; Max. 1.58; Max. 1 p. 181 R.; Max. 1 p. 13 W. (ap. *Flor. Lips.*); Ant. 1.7 796 A; Stob. 3.1.21 (cf. 3.1.172); *Corp. Par.* f. 114^{v}

74. Βίας ἐρωτηθεὶς 'τίς ἄριστος σύμβουλος;' ἔφη 'ὁ καιρός.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al.

Max. 2 p. 24 S. (post Democr.); Max. 2.42; Max. 2 733 C; Max. 2 p. 16 W. (ap. *Flor. Lips.*); *Flor. Bar.* c. 9 f. 27^{v}; *Gnom. Vat.* 260 (post Demetr. Phal.); *App. Vat.* 1: 47 (post Demetr. Parrh.); *Corp. Par.* f. 151^{v} (anon.)
= Demetr. Phal. fr. 122 VII *SA* 4

75. Βίας ἔφη 'δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | γεγνημένων Al. | ἑστῶτα W

Max. 2 p. 25 S. (post Democr.); Max. 2.43; Max. 2 733 D; Max. 2 p. 16 W. (ap. *Flor. Lips.*); *Flor. Bar.* c. 9 f. 27^{v}; Apostol. 5.92e; Stob. 3.1.18 (Isoc.); *Gnom. Vat.* 363 (Isoc.); *App. Gnom.* 67 (Isoc.); *App. Vat.* 2: 45 (post Hdt.); *Corp. Par.* f. 151^{v} (anon.); *APM* Schenkl 40 (anon.)
= Isoc. fr. III α' 4 B.-B.

76. Βίας εἴρηκε 'τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν οὔτε ἀφροσύνην ἀφανίζουσιν.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | αἱ ante τόπων add. Al.

Max. 2 p. 25 S. (post Democr.); Max. 2.44; Max. 2 p. 183 R.; Max. 2 p. 16 W. (ap. *Flor. Lips.*); Ant. 1.8 797 C–D; *Flor. Bar.* c. 9 f. 27^{v} (post Clitarch.); *Flor. Mon.* 255 (anon.); *Corp. Par.* f. 160^{v} (anon.); *APM* Schenkl 123 (anon.)

77. Μενέδημος νεανίσκου τινὸς εἰπόντος 'μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ' εἶπε 'πολλῷ μεῖζόν ἐστι τὸ μηδὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ.'

[WBVLPC Al.] Μενέδημος] Γενέδημος W ὁ αὐτὸς (i.e. Βίας) BVP | ἐπιθυμῇ scripsi ἐπιθυμεῖ codd. Al. | μηδὲν VP

Max. 3 p. 38 S.; Max. 3.45; Max. 3 744 B; Max. 3 p. 20 W. (ap. *Flor. Lips.*); Favorin. 4 (in cod. Bar. gr. 50 f. 108^{r}; = Schenkl p. 468 n.1; = Callanan-Bertini Malgarini p. 173 et p. 180); D.L. 2.136; Ael. *VH* 9.29 (Socr.); Stob. 3.5.18; *Corp. Par.* f. 125^{v}; *Gnom. Vat.* 407; *App. Vat.* 2: 114; *Gnom. Par.* 91
= Menedemus fr. III F 13 G.

78. Βίας ὁ Πριηνεὺς εἶπε 'μακάριός ἐστιν ὁ πλουτῶν καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων, ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος.'

[W Al.] Βίας ὁ Πριηνεὺς εἶπε scripsi Δίας ὁ Πρικιὲς εἶπε cod. om. Al.

Max. 3 p. 39 S.; Max. 3.47; Max. 3 744 C; Max. 3 p. 20 W. (ap. *Flor. Lips*); *Corp. Par.* f. 148^{r}; cf. *Gnom. Byz.* 182 (Bar. 131; Mon. 78) (anon.); *GB* Ath. 77; *GB* Cas. 59; *GB* Clark. 148; *GB* Vind. 132

79. Βασίλειος ὁ μέγας εἶπε 'πολλὰ γὰρ τῶν καλῶν οὐ δοκεῖ εἶναι τοιαῦτα τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις.'

[W Al.] γὰρ om. Al. | δοκεῖν Al.

Max. 5 p. 48 S.; Max. 5.8 (amplior)
= Bas. *Ep.* 204.5 (*PG*, 32 749 C)

80. Βασίλειος ὁ μέγας εἶπε 'τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἠδύνασο.'

[W] ὅσοις ... ἠδύνασο scripsi ὅσους ... ἠδύνατο cod.

Max. 7 p. 74 S.; Max. 7.10 (amplior); Max. 7 765 A; Jo. Dam. 1484 C (amplior); *Corp. Par.* f. 44^{v} (amplior; = Basilius 78 K.)
= Bas. *Hom.* 6.7 (*PG*, 31 277 A); = *Mor.* 4.3 (*PG*, 32 1157 C)

81. Βίας μέλλων θανάτου καταδικάζειν ⟨τινὰ⟩ ἐδάκρυσεν. εἰπόντος δέ τινος 'τί παθὼν αὐτὸς καταδικάζων κλαίεις;' εἶπεν 'ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | ⟨τινὰ⟩ supplevi | ἀποθῆναι BP Al. e corr. V

Max. 7 p. 84 S.; Max. 7.37; Max. 7 769 C; *Flor. Bar.* c. 5 f. 17^{v}; Stob. 4.5.67; *Corp. Par.* f. 114^{v}; *Gnom. Vat.* 112 (post Antag.); *Wien. Apophth.* 47 (Antag.); *Gnom. Par.* 112

82. Βασίλειος ὁ μέγας ἔφη 'τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας ἔφη om. Al.

Max. 8 p. 86 S.; Max. 8.9; Max. 8 p. 195 R.; Ant. 1.29 876 B; *Flor. Bar.* c. 4 f. 12^{r}; Jo. Dam. 409 C; Jo. Georg. M 325 O.; Agap. *Cap. admon.* 7 (*PG*, 86: 1 1165 D); *Corp. Par.*
f. 41^{r} (= Basilius 27 K.)
= Bas. *Hom.* 6.3 (*PG*, 31 265 C); = *Mor.* 4.4 (*PG*, 32 1160 C)

83. Ὁ αὐτὸς εἴρηκεν ὅτι 'πολλάκις ἀκρασία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο.'

[WBVLPC Al.] τὸν] τὸ B

Max. 9 p. 96 S. (anon.); Max. 9.6; Max. 9 p. 196 R.; Ant. 2.1 1001 A (anon.); *Flor. Bar.* c. 28 f. 85^{v}; Jo. Dam. 1573 D; Jo. Georg. M 17 O.; G 6 O.; *Corp. Par.* f. 40^{v} (= Basilius 25 K.)
= Bas. *Hex.* 8.4 (*PG*, 29 173 A)

84. Βοιωτὸς ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη ἐπάρας τὸ σκέλος ἀπεματάισε καὶ παρῆλθεν, ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν.

[W] αὐτὸν scripsi αὐτοῦ cod.

Max. 12.86 (ἐκ τῶν Φαβωρίνου); Max. 12 800 C (ἐκ τῶν Φαυωρίνου); Stob. 4.50a.25 (post Favorin.); *Corp. Par.* f. 117^{v} (ap. Favorin. = Favorin. fr. 15 B).

85. Βίας ἔλεγε τοὺς αἰτουμένους παρὰ τοῦ θεοῦ φρένας ἀγαθὰς καὶ μὴ ἑαυτοὺς παιδεύοντας ἀναισθήτους εἶναι. οὔτε γὰρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ εὔχροιαν καὶ γραμμὴν λαβεῖν ἄν, ⟨εἰ⟩ μὴ μάθοι τὴν τέχνην. οὔτε μουσικὸν γενέσθαι ποτ' ἂν ἕνεκεν εὐχῆς, εἰ μὴ τὰ μουσικὰ

μάθοι. τὸν δ᾽ αὐτὸν τρόπον οὐδ᾽ ἂν φρόνιμον γενέσθαι τινὰ εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβοι.

[WBVLPC Al.] Δίας W | ⟨εἰ⟩ supplevi | μάθη[1] BVP Al. | μάθη[2] BVP Al. | ἂν[3] scripsi αὖ codd. Al. | λάβῃ BVP Al.

Max. 14 pp. 146–147 S.; Max. 14.29; Max. 14 812 C; cf. *Gnom. Vat.* 323 (post Thphr.); *App. Vat.* 2: 28 (post Thphr.); *Corp. Par.* f. 150[r-v] (post Euclid.)

86. Βασίλειος ὁ μέγας ἔφη ‘βίαιον γὰρ μάθημα οὐ πέφυκε παραμένειν. τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει.’

[WBVLPC Al.] Βασίλειος ὁ μέγας ἔφη] ὁ αὐτὸς BVP om. Al. | εἰσδόμενον BVP Al.

Max. 16 p. 157 S.; Max. 16.5; Max. 16 816 D; Ant. 1.49 929 A–932 A; Jo. Georg. M 59 O.; G 153 O.; *Corp. Par.* f. 39[v] (= Basilius 12 K.)
= Bas. *In Ps.* 1.2 (*PG*, 29 213 A); = *Mor.* 2.1 (*PG*, 32 1133 D)

87. Ὁ αὐτὸς εἴρηκεν ‘ἐοίκασιν τοῖς ὄμμασιν τῆς γλαυκὸς οἱ περὶ τὴν ματαίαν σοφίαν ἠσχοληκότες. καὶ γὰρ ἐκείνης αἱ ὄψεις νυκτὸς μὲν ἔρρωνται, ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται. καὶ τούτων ἡ διάνοια ὀξυτάτη μέν ἐστι πρὸς τὴν τῆς ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατανόησιν ἐξαμαυροῦται.’

[WBVLPC Al.] γλαύκης codd. | ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται om. V | τῆς om. WB Al. | κατανόησιν scripsi κατακίνησιν codd. Al. | ἐξαμαυροῦνται P Al.

Max. 17 p. 162 S. (brevior); Max. 17.7; Max. 17 820 B; Jo. Dam. 341 C; *Corp. Par.* f. 44[v] (= Basilius 82 K.)
= Bas. *Hex.* 8.7 (*PG*, 29 181 B)

88. Ὁ αὐτὸς εἶπεν
ὡς ἐθέλει τὸ φέρον σε φέρειν, φέρου. ἂν δ᾽ ἀπειθήσῃς,
καὶ σαυτὸν βλάψεις, καὶ τὸ φέρον σὲ φέρει.

[WBVLPC Al.] ὁ αὐτὸς εἶπεν] Βασίλειος ὁ μέγας ἔφη BVP | ἐθέλει] σε θέλει W ἐθέλεις p. corr. V | φέρου] φέρον Al.

Max. 18 p. 173 S. (anon.); Max. 18.5; Max. 18 829 B (Ἐξ Ἐπιγρ.); *Flor. Bar.* c. 31 f. 91[v]; Jo. Georg. δ 51 O. p. 266 (anon.); *Corp. Par.* f. 39[v] (= Basilius 7 K.)
= Jul. fr. 170 B. p. 216; cf. *AP* 10.73 (Palladas)

89. Βίας ὁ φιλόσοφος εἴρηκεν ἀτυχῆσαι τὸν ἀτυχίαν μὴ φέροντα.

[WBVLPC Al.] Δίας (Βίας scripsi) ὁ φιλόσοφος εἴρηκεν W ὁ αὐτὸς BVP Al. | ἀτυχῆσαι] ἀτυχής ἐστι VP | ἔφη post ἀτυχῆσαι add. Al. | τὸν scripsi τὴν WBV Al. ὁ τὴν P

Max. 18 p. 179 S.; Max. 18.55; Max. 18 836 A; D.L. 1.86; *Gnom. Vat.* 153; *Flor. Leid.* 158; *Flor. Mon.* 168; *Corp. Par.* f. 148[r]

90. Ὁ αὐτὸς ἐρωτηθεὶς ‘τί δυσχερές;’ ‘τὴν ἐπὶ τὸ χεῖρον’ ἔφη ‘μεταβολὴν εὐσεβῶς ὑπενεγκεῖν.’

[WBVLPC Al.] ὁ αὐτὸς om. codd. | δὲ ante τί add. codd. | ἐν τῷ βίῳ post δυσχερὲς add. BVP

Max. 18 p. 179 S.; Max. 18.56; Max. 18 836 A; D.L. 1.86; *Gnom. Vat.* 154; *Corp. Par.* f. 148[r]

91. Βασίλειος ὁ μέγας ἔλεξε ‘τί ὀργῆς ἀφρονέστερον; ἐὰν μείνῃς ἀόργητος, ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.’

[WBVLPC Al.] Βασίλειος ὁ μέγας] ὁ αὐτὸς BVP Al. | ἀφονέστερον B | ᾔσχυναι V

Max. 19 p. 182 S.; Max. 19.8; Max. 19 837 B; Ant. 2.90 1220 C (amplior); *Flor. Bar.* c. 34 f. 95[v] (amplior); Jo. Dam. 269 A (amplior); *Corp. Par.* f. 43[v] (= Basilius 64 K.)
= Bas. *Hom.* 10.4 (*PG*, 31 364 A); = *Mor.* 17.3 (*PG*, 32 1332 C)

92. Βίας ἔφη ‘ὧν ἄκοσμος ὁ βίος, τούτοις σιωπὴ μέγιστος κόσμος.’

[WBVLPC Al.] Δίας (Βίας scripsi) ἔφη W ὁ αὐτὸς BVP om. Al.

Max. 20 p. 200 S. (post Sol.); Max. 20.55 (post Simon.); Ant. 1.73 993 A (post Simon.); *Flor. Bar.* c. 25 f. 82[v]

93. Βίας ὀνειδιζόμενος ὑπό τινος ὅτι τὸ στόμα δυσῶδες εἶχε ‘πολλὰ γὰρ’ εἶπεν ‘αὐτῷ τῶν ἀπορρήτων ἐγκατεσάπη.’

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | γὰρ om. BVP Al.| ἐκκατεσάπη e corr. W κατεσάπη VP

Max. 20 p. 201 (post Sol.); Max. 20.58 (post Demosth.); Max. 20 849 A (post Demosth.); Ant. 1.73 993 A (post Demosth.); Stob. 3.41.6 (Eur.); Kindstrand 14 (Demosth.)

94. Βασίλειος ὁ μέγας ἔλεγε ‘βέλτιον ἀποροῦντας σιωπᾶν καὶ πιστεύειν ἢ ἀπιστεῖν διὰ τὸ ἀπορεῖν.’

[WBVLPC Al.] Βασίλειος ὁ μέγας] ὁ αὐτὸς BVP Al.

Max. 21 p. 204 S. (Athan.); Max. 21.13 (Athan.); Max. 21 852 C (Athan.); Ant. 1.1 772 D (Athan.); *Flor. Bar.* c. 25 f. 81[v] (amplior; Athan); Jo. Georg. G 205 O. (Athan.)
= Athan. *Or.* 2 *Contra Arianos* 36 (*PG*, 26 224 B)

95. Βίας μειρακίου παρὰ πότον ληροῦντος πολλάκις καὶ μὴ βουλομένου σιωπῆσαι ἔφη ‘μειράκιον, πῶς παρ᾽ οὗ ἔμαθες λαλεῖν, παρ᾽ αὐτοῦ τὸ σιωπᾶν οὐκ ἔμαθες;’

[WB Al.] Δίας W

Max. 20 p. 201 S. (post Sol.); Max. 20.57 (Demosth.); Ant. 1.73 993 A (Demosth.); Stob. 3.34.10 (Aeschin. Socr.); *Gnom. Vat.* 207 (post Demosth.); *Gnom. Par.* 182 (Demosth.); Bertini Malgarini 138 (anon.)
cf. Aeschin. Socr. p. 184 n. 25 D.; p. 98 n. 194 K.

96. Βασίλειος ὁ μέγας εἶπεν 'ὁ τῶν ἀλλοτρίων ἐρῶν μετ' οὐ πολὺ θρηνήσει τῶν ἰδίων ἀποστερούμενος.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς εἶπεν BVP om. Al. | ἐρῶν s. lin. B

Max. 22 p. 207 S.; Max. 22.8; Max. 22 856 A; *Flor. Bar.* c. 10 f. 30ᵛ; Apostol. 13.131 (Porph.); *Corp. Par.* f. 39ʳ (= Basilius 2 K.)
= Bas. *Mor.* 6.6 (*PG*, 32 1193 C)

97. Ὁ αὐτὸς εἶπεν 'εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τὰ τῶν πατέρων ἐγκώμια.'

[WBVLPC Al.] ὁ αὐτὸς εἶπεν om. Al.

Max. 23 p. 215 S.; Max. 23.5; Max. 23 857 C; Ant. 2.11 1048 C; *Flor. Bar.* c. 39 f. 107ᵛ; Jo. Dam. 292 D; *Corp. Par.* f. 43ᵛ (= Basilius 67 K.)
= Bas. *Hom.* 23.1 (*PG*, 31 589 B); = *Mor.* 24.2 (*PG*, 32 1377 C)

98. Βίας ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον εἶπεν 'ὀρθὴ συνείδησις.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | τῶν] τὸν codd.

Max. 24 p. 227 S.; Max. 24.25; Max. 24 864 B; Ant. 1.66 976 B; *Flor. Bar.* c. 43 f. 114ᵛ; Stob. 3.24.11; *Corp. Par.* f. 114ᵛ; *Gnom. Vat.* 147; *Flor. Leid.* 28 et 160; *Flor. Mon.* 25 et 170; *App. Vat.* 1: 26; 1: 116 (Periander); *App. Vat.* 2: 130 (Periander); *Gnom. Pal.* 29; *GB* Cas. 26; *GB* Clark. 30; *APM* Schenkl 16; Bertini Malgarini 146 (anon.)

99. Βασίλειος ὁ μέγας εἶπεν 'ὥσπερ τῆς τομῆς ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος ἀλλ' ἡ νόσος, οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοὶ ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες τὸν θεὸν ἁπάσης μέμψεως ἀπολύουσι.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς εἶπεν BVP om. Al.

Max. 26 p. 235 S.; Max. 26.6; Max. 26 868 A; *Flor. Bar.* c. 13 ff. 44ᵛ–45ʳ
= Bas. *Hom.* 9.3 (*PG*, 31 333 D); = *Mor.* 7.7 (*PG*, 32 1208 C–D)

100. a. Ὁ αὐτὸς εἶπεν 'ὥσπερ τὰς μελίττας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδεία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία.' b. 'ἀλλὰ καὶ κακία σιωπηθεῖσα νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ.'

[a. WBVLPC Al.; b. W Al.] ὁ αὐτὸς εἶπεν om. Al. | ὥσπερ] ὡς γὰρ W | μελλίτας W μελλίσας BVP | δυσώδεις[1] W

a. Max. 26.8; Max. 26 868 B; Ant. 1.16 817 C; *Flor. Bar.* c. 13 f. 45ᵛ; Jo. Dam. 1160 B–C; *Corp. Par.* f. 41ᵛ (= Basilius 38 K.)
= Bas. *In Ps.* 33.5 (*PG*, 29 364 B); = *Mor.* 7.2 (*PG*, 32 1197 B)
b. Max. 26 p. 236 S.; Max. 26.11; Max. 26 868 C; Jo. Dam. 153 A; Jo. Georg. G 577 O.; *Corp. Par.* f. 45ʳ (= Basilius 90 K.)
= Bas. *Reg. fus. tract.* 46 (*PG*, 31 1036 A); = *Mor.* 7.7 (*PG*, 32 1208 B)

101. Βίας μὲν ἔν τινι συμποσίῳ σιωπῶν καὶ σκωπτόμενος ὑπό τινος ἀδολέσχου 'καὶ τίς ἄν' ἔφη 'δύναιτο μωρὸς ἐν οἴνῳ σιωπᾶν;'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al. | ἂν om. VP | δύναται VP

Max. 30 p. 261 S.; Max. 30.15; Apostol. 11.92; Greg. Cypr. P 3.69; Plu. *Mor.* 220 A–B (Demaratus 4); 503 F; Stob. 3.34.15 (Sol.); *Gnom. Par.* 59 (Sol.); 194
= Sol. T 178 M.

102. Βασίλειος ὁ μέγας εἶπεν 'τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς εἶπεν BVP om. Al. | ἑαυτὸν BVP Al. | ὑπεροπτικώτερα p. corr. V ὑπεροπτικώτερον codd. Al.

Max. 34 p. 276 S.; Max. 34.7; Max. 34 893 D; Ant. 2.74 1181 C; *Flor. Bar.* c. 45 f. 115ᵛ; Jo. Georg. G 511 O.
= Bas. *Ep.* 239.2 (*PG*, 32 893 B); = *Mor.* 20.1 (*PG*, 32 1353 B)

103. Ὁ αὐτὸς εἶπε 'μή με νομίσῃς ὥσπερ μητέρα τινὰ τροφὸν ψευδῆ σοι μορμολύκια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν ἐπὶ τὰ νήπια τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, καὶ δι' ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. ταῦτα γὰρ οὐ μῦθος ἀλλὰ λόγος ἀψευδὴς προσκεκηρυγμένος φωνεῖ. καὶ ἴσθι ἀκριβῶς ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής.'

[W Al.] ὁ αὐτὸς εἶπε om. Al. | ἐκεῖνα W | τὰ] τὸ Al. | ἐπιπλάσεος Al. | φωνῇ Al.

Max. 45 p. 298 S.; Max. 45.5; Max. 45 929 A–B
= Bas. *Hom.* 8.9 (*PG*, 31 328 B–C); = *Mor.* 14.3 (*PG*, 32 1304 A)

104. Ὁ αὐτὸς ἔφη 'ἀνεπιστήμων ἰατρὸς πρὸς κάμνοντας εἰσιὼν ἀντὶ τοῦ εἰς ὑγίειαν αὐτοὺς ἐπαναγαγεῖν καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.'

[WBVLPC Al.] ὁ αὐτὸς εἶπε(ν) BVP om. Al. | ὑγίαν codd. | λειψάμενον V p. corr. P

Max. 50 p. 317 S.; Max. 50.6; Max. 50 948 B; Ant. 1.56 952 D; *Flor. Bar.* c. 52 f. 124ᵛ; Jo. Dam. 61 A–B; *Corp. Par.* f. 43ʳ (= Basilius 56 K.)
= Bas. 2 *In Ps.* 14.1 (*PG*, 29 268 B)

105. Βίας ἔφη 'ἀγαθὸς εἶ. ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε γίνεται φθόνος.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ αὐτὸς BVP Al.

Max. 54 p. 335 S. (Pl.); Max. 54 961 C (Pl.); Jo. Georg. G 2 O. (post Bas.); Phot. *Opusc. paraen.* 108 S. p. 14 (amplior); Stob. 2.38.33 (Pl.); *Corp. Par.* f. 135r
= Pl. *Ti.* 29 E (cf. Stanzel p. 20); = Athan. *Gent.* 41 (*PG*, 25 81 D)

106. Βασίλειος ὁ μέγας εἴρηκεν 'ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτως ὁ φθόνος φίλων ἐστὶν ἀρρώστημα.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἴρηκεν] ὁ αὐτὸς εἴρηκεν BVP om. Al. | ἐρυσίβη scripsi ἐρισίβη WV Al. ἐριοίβη BP

Max. 54.5; Max. 54 957 D; Ant. 1.62 968 C; *Flor. Bar.* c. 36 f. 101r (amplior); Jo. Dam. 417 A (amplior); Jo. Georg. G 1187 O.
= Bas. *Hom.* 11.4 (*PG*, 31 380 A); = *Mor.* 18.3 (*PG*, 32 1340 C)

107. Βία γὰρ ἢ φόβος ἀρετῆς οὐκ ἄν ποτε γένοιτο δημιουργός. ἐθελούσια γὰρ καὶ οὐκ ἀνάγκης τὰ καλά.

[W] Βία scripsi Δία cod.

Max. 55 p. 337 S. (post Bas.); Max. 55.8 (post Bas.); Max. 55 964 B (post Bas.); Ant. 1.65 973 A–B (anon.)
= Bas. Sel. *De vita Thecl.* 1 (*PG*, 85 500 B)

108. Βίας ἔφη κράτιστον εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

[WBVLPC Al.] Δίας W ὁ αὐτὸς Al. | ἐστι in lin. et εἶναι s. lin. B

Max. 58 p. 351 S.; Max. 58.19; Max. 58 977 C (anon.); Plu. *Mor.* 154 D; Stob. 4.1.134; *Corp. Par.* f. 119r; *Gnom. Par.* 269

109. Βασίλειος ὁ μέγας εἴρηκεν 'ἐκ λογικοῦ γὰρ καὶ ἀλόγου, κατὰ τὸ Ἑλληνικὸν πρὸς φυσιολογίαν πλάσμα, ὥσπερ τινὰ κένταυρον συνθεὶς ὁ δημιουργὸς ὅλον τὸν ἄνθρωπον, τῷ ἀνθρωπομόρφῳ ἀπὸ κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει, τὸ ἀπ' ὀμφαλοῦ καὶ ὀσφύος, καθάπερ ἵππου φύσιν, πρός τε τὰς γαστρὸς ἡδονὰς κτηνῶδες ὑπάρχον, καὶ πρὸς τὰς μίξεις ἀλόγως κινούμενον, κάτωθεν φέρων προσήρμοσεν, οὐχ ὑπὸ τοῦ ἀλόγου μέρους τὸ λογικὸν ἐξαρπάζεσθαι βουληθείς, ἀλλὰ τῷ λογικῷ ὑποβεβλημένον ἔχοντι τὸ ἄλογον μέρος, ἡνιοχεῖσθαι [τε] πρὸς τὰς τῆς φύσεως ἀνάγκας πανσόφως ἐφείς.'

[WBVLPC Al.] φυσιολογίαν scripsi φυσιολόγου codd. Al. | μείξεις BVP | φέρον W | τοῦ (ante ἀλόγου) om. BVP Al. | τῷ λογικῷ p. corr. V τὸ λογικὸν codd. Al. | τὰς s. lin. B | [τε] seclusi | ἐφεὶς W ex ἔφεις in ἐφνοε corr. et πεφυκὸς in mg. add. V om. Al.

Max. 59 pp. 353–354 S.; Max. 59.5; Max. 59 980 A–B
= Bas. Anc. *De vera virg.* 7 (*PG*, 30 681 D–684 A)

110. Βλάσιος ἔφη 'τὸ κατ' ὄναρ ἰδεῖν τὰ ποθούμενα φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.'

[WBVLPC Al.] Βλάσιος ἔφη] ὁ αὐτὸς ἔφη BVP Βλάσιος εἶπεν Al.

Max. 65 p. 375 S. (amplior; Bas.); Max. 65.7 (post Bas.); Max. 65 1000 A (post Bas.); Ant. 1.43 921 C (post Bas.); *Flor. Bar.* c. 44 f. 115r (post Bas.)
= Bas. *Ep.* 157 (*PG*, 32 617 B)

111. Βαβύλας εἶπεν 'ἥκιστα κακίαν [οὐχ] ὑφορᾶται τὸ κακίας ἐλεύθερον.'

[WBVLPC Al.] κακίαν scripsi κακία codd. κακὰ Al. | [οὐχ] seclusi

Max. 66 p. 377 S. (Bas.); Max. 66.6 (Bas.); Max. 66 1001 B (post Bas.); Jo. Dam. 1220 C (amplior) (Greg. Naz.); Jo. Georg. M 153 O. (Greg. Naz.); G 447 O. (Greg. Naz.); *Corp. Par.* f. 45v (= Basilius 93 K.)
= Greg. Naz. *Or.* 4 *Contra Jul.* 1.38 (*PG*, 35 564 B)

112. Βίας εἴρηκε 'τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσόμενος.'

[WBVLPC Al.] Δίας W ὁ αὐτὸς Al.

Max. 67 p. 388 S.; Max. 67.25; Max. 67 1008 D; *Flor. Bar.* c. 12 f. 43r (in mg.)

113. Βασίλειος ὁ μέγας εἶπεν 'ἐὰν οἱ σώφρονες τοὺς φαύλους ἴδωσιν ἀτιμαζομένους, πολὺ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται.'

[W Al.] Βασίλειος ὁ μέγας εἶπεν om. Al. | ἀνθέξωνται cod.

Max. 68.5; Max. 68 1009 B; *Corp. Par.* f. 39v (= Basilius 8 K.)
= X. *Cyr.* 2.2.27

114. Βαρνάβας ὁ ἀπόστολος ἔφη 'ἐν ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας διότι ἀπέρχεται πλέον ἔχων τῆς ἁμαρτίας.'

[WBVLPC Al.] ἀπέρχεται s. lin. W ἐπέρχεται BVP | τῆς] τὰς VP

Max. 71 p. 398 S. (post Bas.); Max. 71.7 (post Bas.); Max. 71 1017 B (post Jo. Chr.); Ant. 2.32 1081 C (Bas.); 2.68 1164 A (Bas.); Jo. Dam. 172 B (Bas.); 268 D (post Bas.); Jo. Georg. M 114 O. (post Bas.); G 345 O. (Bas.); *Corp. Par.* f. 43v (= Basilius 63 K.)
= Bas. *Hom.* 10.3 (*PG*, 31 357 B); = *Mor.* 17.5 (*PG*, 32 1336 B)

115. Βασίλειος ὁ μέγας εἶπεν 'ἡ ἐπὶ πλεῖστον ἐνταῦθα διατριβὴ πλειόνων κακῶν ἐστιν ἀφορμή.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς εἶπεν BVP om. Al.

Max. 36.9; Ant. 1.58 956 B; Jo. Georg. G 450 O.
= Bas. *Ep.* 300 (*PG*, 32 1045 C); = *Mor.* 11.8 (*PG*, 32 1269 D)

116. Βίας ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπί τινων ἀπωλείᾳ ἔφη 'τί αὐτὸν καλεῖς, ἄνθρωπε, ὃν κἂν μὴ καλέσῃς [οὐχ] ἥξει.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ (om. P) αὐτὸς BVP Al. | [οὐχ] seclusi

Max. 36 pp. 409–410 S.; Max. 36.43; Max. 36 904 C–D; *Flor. Bar.* c. 47 f. 120r; *Corp. Par.* f. 150v (post Euclid.); *Gnom. Par.* 216; *APM* Schenkl 49 (Euclides); Boissonade, 3 p. 469 (anon.)
= Euclides fr. 12 D.

117. Βασίλειος ὁ μέγας εἶπεν 'ὅσον ἐστὶ ⟨τὸ⟩ τῆς εἰρήνης ἀγαθόν, τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; οὐδὲν γὰρ οὕτως ἴδιον Χριστιανοῖς ὡς τὸ εἰρηνοποιεῖν. διότι καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ κύριος ἐπηγγείλατο.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς εἶπεν BVP om. Al. | ⟨τὸ⟩ supplevi

Max. 37 p. 411 S.; Max. 37.5; Max. 37 905 B–C; Ant. 1.26 857 C; *Flor. Bar.* c. 42 f. 113r
= Bas. *Ep.* 114 (*PG*, 32 528 B)

118. Βίας θεασάμενος μάχαιραν ἐρριμμένην 'ὦ καινίς,' ἔφη 'τίς σε ἀπώλεσεν ἢ τίνα σύ;'

[W Al.] Δίας cod. | τὴν ante μάχαιραν add. Al.

Max. 36 p. 409 S.; Max. 36.42; Max. 36 904 D; Ant. 1.58 957 D; *Gnom. Vat.* 170 (post Diog.); *Corp. Par.* f. 148v (anon.); *Gnom. Par.* 215
= Diog. fr. V B 459 G.

119. Βασίλειος ὁ μέγας ἔφη 'ἐπαινῶ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας ἔφη] ὁ αὐτὸς ἔφη BVP om. Al.

Max. 38 p. 415 S.; Max. 38.7; Max. 38 908 B; Ant. 1.5 788 C (anon.); Plu. *Mor.* 759 B–C (anon.); Ael. *VH* 13.29 (Pl.); D.L. 5.18 (Arist.); Stob. 4.47.12 (Pi.); *Gnom. Vat.* 375 (Anacr.); Bertini Malgarini 123 (anon.); *Mantiss. Prov.* 1.53 (anon.)
= Bas. *Ep.* 14.1 (*PG*, 32 276 B); = Pi. fr. 289 M.; = Pl. Sent. 12 S.

120. Βίας ἐρωτηθεὶς 'ποῖος τῶν θανάτων κακός;' ἔφη 'ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος.'

[WBVLPC Al.] Βίας scripsi Δίας W ὁ (om. P) αὐτὸς BVP Al.

Max. 36 p. 410 S.; Max. 36.44; Max. 36 904 D; Ant. 1.58 957 D; *Flor. Bar.* c. 47 f. 120r; *Gnom. Vat.* 377 (post Cyrum); *Flor. Leid.* 200 (post Cyrum); *Flor. Mon.* 212 (post Cyrum); *App. Vat.* 2: 64 (post Cyrum); *Corp. Par.* f. 154r (anon.); *Gnom. Par.* 217

121. Βασίλειος ὁ μέγας 'αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις' εἴρηκε 'τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας] ὁ αὐτὸς BVP om. Al. | εἴρηκε om. Al.

Max. 39 p. 418 S.; Max. 39.7; Max. 39 912 A; *Flor. Bar.* c. 56 f. 128r; Jo. Dam. 1324 B (amplior); Jo. Georg. G 18 O.
= Bas. *Hom.* 7.4 (*PG*, 31 289 B)

122. Βενέδικτος ὁ ῥήτωρ εἶπεν 'ἡ ἀντιλογία τὸ αὐτοκρατορικὸν καὶ ἀνυπότακτον δείκνυσι, κἂν ἐν σχήματι ταπεινώσεως γίνηται.'

[WBVLPC Al.] ἀντιλογία scripsi ἀντίλογος codd. Al. | κἂν] καὶ BVP Al. | γίνηται scripsi γίνεται codd. Al.

Max. 40 p. 428 S. (Bas.); Max. 40.9 (Bas.); Max. 40 913 C (Bas.); Ant. 2.71 1169 C (post Bas.); Jo. Dam. 284 B (post Bas.); *Corp. Par.* f. 43v (= Basilius 65 K.)
= Bas. *Reg. fus. tract.* 31 (*PG*, 31 993 C)

123. Βεσελεὴλ ὁ τεχνικὸς ἔφη 'διαφέρει τοῦ νηπίου καθ' ἡλικίαν οὐδὲν ὁ ἐν ταῖς φρεσὶ νηπιάζων.'

[WBVLPC Al.] Βεσεβεὴλ VP

Max. 41 p. 432 S. (post Bas.); Max. 41.10 (post Bas.); Max. 41 917 A (post Bas.); Ant. 2.17 1053 D (post Bas.); *Flor. Bar.* c. 49 f. 122r (post Bas.); Jo. Dam. 188 A (post Bas.)
= Bas. *Reg. fus. tract.* 15.1 (*PG*, 31 952 C)

124. Βασίλειος ὁ μέγας εἶπεν 'πλέον τῷ ὄντι τῆς ἐν θριξὶ λευκότητος εἰς πρεσβυτέρου σύστασιν τὸ ἐν φρονήσει πρεσβυτερικόν.'

[WBVLPC Al.] Βασίλειος ὁ μέγας εἶπεν] ὁ αὐτὸς BVP Al. | τῆς] τοῖς BVP Al. | λευκότερος BVP Al. | πρεσβυτικόν² BVP Al.

Max. 41 p. 432 S.; Max. 41.9; Max. 41 917 A; Ant. 2.17 1053 D; *Flor. Bar.* c. 49 f. 122r
= Bas. *In Is.* 3.104 (*PG*, 30 285 C)

125. Γρηγόριος ὁ θεολόγος φησὶ 'ποιεῖ γὰρ περιβοήτους οὐ δεξιὰ πρᾶξις μόνη, ἀλλὰ καὶ κακία νικῶσα πονηρῶν εὐδοκίμησιν.'

[WBVLPC Al.] μόνον BVP Al.

Max. 1 p. 2 S.; Max. 1.8; Max. 1 724 C (post Jo. Chr.); Max. 1 p. 9 W. (ap. *Flor. Lips.*); Ant. 1.7 792 D (post Bas.); Jo. Georg. M 298a O. (anon.); G 867 O. (anon.); *Corp. Par.* f. 47v
= Greg. Naz. *Or.* 4 *Contra Jul.* 1.86 (*PG*, 35 616 A)

126. Γρηγόριος ὁ Νυσσεὺς εἶπεν 'ἡ τοῦ κακοῦ στάσις ἀρχὴ τῆς κατ' ἀρετήν ἐστιν ὁρμῆς.'

[WBVLPC]

Max. 1 p. 4 S.; Max. 1.18; Max. 1 p. 10 W. (ap. *Flor. Lips.*) (post Jo. Chr.); Ant. 1.7 793 A–B (post Jo. Chr.); *Corp. Par.* f. 64r
= Greg. Nyss. *De hom. opif.* 28 (*PG*, 44 232 C)

127. Γερμανὸς ἔφη 'οὐχ ὑπομένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν, οὐ νόσος ὑγιείας ἐπιλαβούσης ἵσταται, οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης.'

[WBVLPC Al.] ὑγείας W ὑγίας BVP | ἐπιβαλούσης VP

Max. 1 p. 4 S. (post Greg. Nyss.); Max. 1.19 (post Greg. Nyss.); Max. 1 725 B (post Jo. Chr.); Max. 1 p. 10 W. (ap. *Flor. Lips.*) (post Jo. Chr.); *Corp. Par.* f. 63r (Greg. Nyss.)
= Greg. Nyss. *Or. de or. dom.* 3 p. 258.16–19 Oe. (*PG*, 44 1157 A)

128. Γερόντιος ἔφη 'ἐλευθέραν εἶναι προσήκει παντὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον.'

[WBVLPC Al.] τῆς ἀρετῆς W

Max. 1 p. 4 S. (post Greg. Nyss.); Max. 1.20 (post Greg. Nyss.); Max. 1 725 B–C (post Jo. Chr.); Max. 1 p. 10 W. (ap. *Flor. Lips.*) (post Jo. Chr.); Apostol. 7.9b (anon.); Jo. Dam. 1380 D (Greg. Nyss.); Pl. *R.* 10.617 E; *Corp. Par.* f. 64r (post Greg. Nyss.)
= Greg. Nyss. *Or. de or. dom.* 3 p. 256.18–19 Oe. (*PG*, 44 1156 C)

129. Γελάσιος εἴρηκεν 'ἀδέσποτον γὰρ ἡ ἀρετὴ καὶ ἑκούσιον καὶ ἀνάγκης ἐλεύθερον.'

[WBVLPC Al.] Γελάσιος εἴρηκεν om. Al. | ἀνάγκκης W

Max. 1 p. 4 S. (post Greg. Nyss.); Max. 1.20 (post Greg. Nyss.); Max. 1 725 B–C (post Jo. Chr.); Max. 1 p. 10 W. (ap. *Flor. Lips.*) (post Jo. Chr.); Ant. 1.7 793 B (post Jo. Chr.); Jo. Dam. 1380 D (post Greg. Nyss.); Jo. Georg. G 30 O. (Greg. Naz.); Pl. *R.* 10.617 E; Plu. *Mor.* 740 D (Pl.); Clem. Al. *Strom.* 5.14.136.4 (Pl.); Theodoretus *Aff. cur.* 6.57 (Pl.); Stob. 2.8.39 p. 164.23–24 (Porph.); *Corp. Par.* f. 64r (post Greg. Nyss.); *Gnom. Vat.* 423 (Pl.); *Corp. Par.* f. 159r (brevior; post Romyl.)
= Greg. Nyss. *De hom. opif.* 16 (*PG*, 44 184 B); = Pl. Sent. 27 S.

130. Γερβάσιος εἶπεν 'οὐκ ἔστιν ἄλλην κακίας γέννησιν ἐννοῆσαι ἢ ἀρετῆς ἀπουσίαν.'

[WBVLPC Al.] γέν(ν)εσιν B Al. | ἐννοῆσα Al.

Max. 1 p. 4 S. (post Greg. Nyss.); Max. 1.21 (post Greg. Nyss.); Max. 1 725 C (post Jo. Chr.); Max. 1 p. 10 W. (ap. *Flor. Lips.*) (post Jo. Chr.); *Corp. Par.* f. 64r (post Greg. Nyss.)
= Greg. Nyss. *Or. cat. magna* 5 p. 28.1–2 S. (*PG*, 45 24 D–25 A)

131. Γρηγόριος ὁ θεολόγος εἶπεν 'ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ

κακὸν τῷ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν ἀναμίξας οὔτε τὸ φρόνιμον ἐάσει κακοῦργον γενέσθαι οὔτε τὸ ἁπλοῦν ἀνόητον.'

[WBVLPC Al.] Γρηγόριος ὁ θεολόγος] ὁ αὐτὸς Al. | εἶπεν om. VP | ὄφεως p. corr. V ὄφεος codd. Al. | τῷ] τὸ BP

Max. 2 p. 17 S.; Max. 2.7; Max. 2 732 B; Ant. 1.8 797 B; *Flor. Bar.* c. 9 f. 26v
= Greg. Naz. *Or.* 18.27 (*PG*, 35 1017 B)

132. Γάϊος ἔφη 'σωφρονέστερον τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν τὸ πρὶν παθεῖν φυλάξασθαι τὸ μὴ παθεῖν.'

[WBVLPC Al.]

Max. 2 p. 24 S.; Max. 2.38; Max. 2 733 B; Max. 2 p. 15 W. (ap. *Flor. Lips.*); Stob. 3.3.53; *Corp. Par.* f. 118v; f. 125r

133. Γρηγόριος ὁ Νυσσεὺς ἔφη 'πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡ ἡδονὴ προβληθεῖσα εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται.'

[WBVLPC Al.]

Max. 3 pp. 29–30 S.; Max. 3.12; Max. 3 740 B; Max. 3 p. 19 W. (ap. *Flor. Lips.*); Ant. 1.14 812 D–813 A (post Epict.); *Flor. Bar.* c. 41 f. 111r; *Corp. Par.* f. 66r–v
= Greg. Nyss. *De vita Mos.* 2 (*PG*, 44 421 D)

134. a. Γρηγόριος ὁ θεολόγος ἔφη
ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν.
κακοῖς δ' ὁμιλῶν καὶ κακὸς πάντως ἔσῃ.
b. κακοῦ παρ' ἀνδρὸς μήποτε χρηστὸν πάθῃς.
ζητεῖ γὰρ ὧν βεβίωκε συγγνώμην ἔχειν.
c. ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.

[WBVLPC Al.] καὶ om. BVP Al. | συγνώμην Al.

a. Max. 6 p. 55 S. (brevior); Max. 6.5; Max. 6 756 C; Ant. 1.24 848 B; 1.50 937 A (Demades); 2.36 1096 C; Jo. Dam. 356 B (amplior); Jo. Georg. G 587 O. (brevior); Apostol. 9.20a; Men. *Mon.* 383 J.; *Corp. Par.* f. 46v; *APM* Schenkl 73 (anon.)
= Greg. Naz. *Carm.* 1.2 33 vv. 189–190 (*PG*, 37 942 A)
b. Max. 6 p. 56 S.; Max. 6.16; Max. 6 756 D (amplior); *Corp. Par.* f. 46v
= Greg. Naz. ibid. vv. 191–192 (*PG*, 37 942 A)
c. Max. 6 p. 56 S.; Max. 6.18; Max. 6 756 D; *Flor. Bar.* c. 11 f. 34r; *Corp. Par.* f. 49r
= Greg. Naz. ibid. v. 180 (*PG*, 37 941 A)

135. Γρηγόριος ὁ Νυσσεὺς εἶπεν 'ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὀνίνησιν.'

[WBVLPC Al.] Γρηγόριος ὁ Νυσσεὺς εἶπεν om. Al. | πλήρη om. BVP Al.

Max. 6 p. 57 S.; Max. 6.31; Max. 6 757 C; Ant. 2.31 1077 C; 2.41 1105 C (anon.); *Flor. Bar.* c. 11 f. 34^{r-v}; Jo. Dam. 1385 C (post Greg. Naz.); Jo. Georg. G 1199 O. (post Greg. Naz.); *Corp. Par.* f. 63^{r-v}
= Greg. Nyss. *Or. de beat.* 7 (*PG*, 44 1284 C)

136. Γρηγόριος ὁ θεολόγος ἔφη 'τὸ ποιεῖν εὖ τοῦ πάσχειν τιμιώτερον. καὶ περισπουδαστότερον κέρδους ἔλεος.'

[WBVLPC Al.] Γρηγόριος ὁ θεολόγος ἔφη] ὁ αὐτὸς BVP Al. | τὸ] τοῦ BP a. corr. V | πάσχει B

Max. 7 p. 75 S.; Max. 7.12; Max. 7 765 A
= Greg. Naz. *Or.* 14.29 (*PG*, 35 896 C)

137. Γρηγόριος ὁ Νυσσεὺς εἶπεν 'ὁ τῷ πτωχῷ κοινωνήσας εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν καταστήσει.'

[W Al.] Γρηγόριος ὁ Νυσσεὺς εἶπεν om. Al.

Max. 7 p. 83 S.; Max. 7.31 (Nil.); Max. 7 769 B; Jo. Dam. 1468 D (amplior); *Corp. Par.* f. 66^{r}
= Greg. Nyss. *Or. de beat.* 2 (*PG*, 44 1202 B).

138. Γρηγόριος ὁ θεολόγος εἶπε
δῶρον θεῷ κάλλιστόν ἐστιν ὁ τρόπος.
κἂν πάντ' ἐνέγκῃς, οὐδὲν οἴσεις ἄξιον.
ὃ καὶ πένης δίδωσι, τοῦτο πρόσφερε.

[W]

Max. 8.7 (e 138 et 155 una sententia facta est); cf. *Gnom. Bas.* 155
= Greg. Naz. *Carm.* 1.2 33 vv. 25–27 (*PG*, 37 930 A)

139. Ὁ αὐτὸς 'ἡ μὲν ἀταξία' φησὶ 'ἀναρχίας ἐστὶ γνώρισμα, ἡ δὲ τάξις τὸν ἡγεμονεύοντα δείκνυσιν.'

[WBVLPC Al.] ὁ αὐτὸς et φησὶ om. Al. | τῆς ante ἀναρχίας add. Al.

Max. 9 p. 97 S. (anon.); Max. 9.10 (post Bas.); Max. 9 777 A; Ant. 2.1 1001 A; *Flor. Bar.* c. 28 f. 85^{v} (amplior); Jo. Dam. 1209 C (Athan.)
= Athan. *Gent.* 38 (*PG*, 25 76 B)

140. Ὁ αὐτὸς ἔφη 'ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος.'

[WBVLPC Al.] ὁ αὐτὸς ἔφη om. Al. | ἕπεται WBP a. corr. V

Max. 10 p. 114 S. (post Greg. Naz.); Max. 10.11; Max 10 784 C; Ant. 1.53 944 C (post Bas.); *Flor. Bar.* c. 30 f. 89^{v}; Jo. Georg. G 39 O. (amplior); *Corp. Par.* f. 47^{r}
= Greg. Naz. *Or.* 43.28 (*PG*, 36 533 C)

141. Ὁ αὐτὸς εἶπεν 'εἴ με ὄντα κακὸν ⟨ἄριστον⟩ ὑπελάμβανες, τί με ποιεῖν ἐχρῆν; εἶναι μᾶλλον ⟨κακόν⟩, ἵνα πλεῖον
ἀρέσκω σοι; οὐκ ἂν τοῦτο ἐμαυτῷ συνεβούλευσα.'

[W] ⟨ἄριστον⟩ et ⟨κακόν⟩ supplevi

Max. 11.9 (amplior); Max. 11 788 D
= Greg. Naz. *Or.* 36.8 (*PG*, 36 276 B)

142. Γρηγόριος ὁ Νυσσεὺς εἶπε 'τὸ καλῶς ἔχειν ὀλίγα πολὺ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.'

[WB Al.] Γρηγόριος ὁ Νυσσεὺς εἶπε] ὁ αὐτὸς εἶπεν B om. Al.

Max.12 p. 129 S. (post Bas.); 13 p. 139 S. (Greg. Naz.); Max. 12.24; 13.7 (Greg. Naz.); Max. 12 793 C; 13 804 C (Greg. Naz.); Ant. 1.31 884 B; *Flor. Bar.* c. 10 f. 31^{r}; Jo. Dam. 1224 B (amplior; Jo. Chr.); *Corp. Par.* f. 65^{r}

143. Ὁ αὐτὸς ἔφη 'βαρύ τι χρῆμα τὸ χρυσίον ἐστί, κοῦφον δέ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή.'

[WBVLPC Al.]

Max. 12 p. 129 S. (amplior; post Bas.); Max. 12.26 (amplior); Max. 12 793 D (amplior); Ant. 1.34 893 D (amplior; post Jo. Chr.); *Corp. Par.* f. 65^{v} (amplior)
= Greg. Nyss. *Or. de beat.* 2 (*PG*, 44 1208 B)

144. Ὁ αὐτὸς ἔφη 'εὔηχός ἐστιν ἐκείνη ἡ φωνὴ καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγή, ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀναπτομένη ἐνθύμησις.'

[W Al.] ὁ αὐτὸς ἔφη om. Al. | οὐχ ἡ] οὐχὶ Al. | κραυγή om. Al.

Max. 14 p. 144 S.; Max. 14.16; Max. 14 809 C (post Jo. Chr.); *Flor. Bar.* c. 3 f. 10^{r-v}; Jo. Dam. 1440 D; *Corp. Par.* f. 65^{r}
= Greg. Nyss. *De vita Mos.* 2 (*PG*, 44 361 A)

145. Γρηγόριος ὁ θεολόγος φησὶ 'οὐ γὰρ ὁ ἐν λόγῳ σοφὸς οὗτος ἐμοὶ σοφός, οὐδ' ὅστις γλῶσσαν εὔστροφον ἔχει, ψυχὴν δὲ ἄστατον καὶ ἀπαίδευτον, ἀλλ' ὅστις ὀλίγα μὲν ⟨περὶ⟩ ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ διὰ τοῦ βίου προστίθησιν.'

[WBVLPC Al.] Γρηγόριος ὁ θεολόγος φησὶ] ὁ αὐτὸς BVP om. Al | ἔχοι WB Al. | ⟨περὶ⟩ supplevi

Max. 15 p. 148 S.; Max. 15.9
= Greg. Naz. *Or.* 16.2 (*PG*, 35 936 D–937 A)

146. Γρηγόριος ὁ Νυσσεὺς εἶπεν 'βουλοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθόν τι λεγόντων ἀκούειν μᾶλλον ἢ λέγειν αὐτός. τῷ παντὶ γὰρ εὐτυχέστερον ἀμείνοσιν ἐντυγχάνειν ἢ χείροσιν.'

[W Al.] Γρηγόριος ὁ Νυσσεὺς εἶπεν om. Al | ἀγαθόν scripsi ἀγαθῶν cod. Al.

Max. 15 p. 149 S.; Max. 15.17; Ant. 1.48 929 A (brevior)

147. Γρηγόριος ὁ θεολόγος εἶπε 'μὴ ἄλλους ἰατρεύειν ἐπιχειρήσωμεν, αὐτοὶ βρύοντες ἕλκεσιν.'

[WBVLPC Al.] Γρηγόριος ὁ θεολόγος] ὁ αὐτὸς BVP Al. | ἐπιχειρήσομεν W | βρύοντες] βένοντες BP a. corr. V | ἕλκωσιν BP a. corr. V

Max. 16 p. 157 S.; Max. 16.8; Max. 16 817 A (Jo. Chr.; post Greg. Naz.); *Flor. Bar.* c. 16 f. 55ᵛ
= Greg. Naz. *Or.* 2.13 (*PG*, 35 424 A)

148. Γεννάδιος ἔφη 'ποιήσατε δικαιοσύνης ὅπλον καὶ μὴ θανάτου τὴν παίδευσιν.'

[W Al.] τὴν om. Al.

Max. 17 p. 162 S. (Greg. Naz.); Max. 17.9 (Greg. Naz.); Max. 17 821 B (post Greg. Naz.); *Flor. Bar.* c. 38 f. 105ᵛ (post Greg. Naz.)
= Greg. Naz. *Or.* 19.10 (*PG*, 35 1053 D)

149. Γελάσιος ὁ ῥήτωρ εἶπεν 'ἡ τῶν ἐν φιλοσοφίᾳ δογμάτων δύναμις τοῖς μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον, τοῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται.'

[WBVLPC Al.]

Max. 17 pp. 162–163 S. (post Greg. Naz.); Max. 17.10 (post Greg. Naz.)
= Greg. Naz. *Or.* 4.33 (*PG*, 35 556 C)

150. Γλύκων ὁ σοφὸς τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον εἶναι.

[WBVLPC Al.] Γλύκων scripsi Λύκων codd. Al.

Max. 17 p. 169 S. (Glycon); Max. 17.52 (Glycon); Max. 17 825 A (Glycon); *Exc. Flor.* 2.13.140 (Lycon); *Corp. Par.* f. 148ᵛ (Glycon); *Gnom. Vat.* 164 (Glycon)
= Lycon fr. 21 *SA* 6

151. Γρηγόριος ὁ θεολόγος ἔφη 'μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν, μήτε καλῶς πράττων ἀθυμίαν. εἷς ἐνιαυτὸς τέσσαρας ὥρας ἔχει, καὶ μία καιροῦ ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς.'

[WBVLPC Al.] ὁ θεολόγος om. BVP Al. | καὶ om. Al.

Max. 18 p. 174 S.; Max. 18.7; Max. 18 908 C (brevior); Max. 18 p. 7 W. (ap. *Flor. Lips.*); Jo. Dam. 1528 A; Jo. Georg. M 195 O.; *Corp. Par.* f. 50ʳ (brevior)
= Greg. Naz. *Or.* 44.8 (*PG*, 36 616 C)

152. Ὁ αὐτὸς εἶπε 'τυφλὸν ὁ θυμὸς καὶ ἐπίλυπον καὶ μάλιστα, ὅταν τὸ δικαίως ἀγανακτεῖν παρῇ.'

[WBVLPC Al.] μὴ ante παρῇ add. Al. | παρῇ e corr. V παρεῖ BP

Max. 19 pp. 182–183 S.; Max. 19.9; Max. 19 837 B; Ant. 2.53 1133 A; *Corp. Par.* f.49ʳ
= Greg. Naz. *Ep.* 78 (*PG*, 37 148 A)

153. Ὁ αὐτὸς ἔφη 'ἐρωτᾷς τί βούλεται ἡμῖν ἡ σιγή; βούλεται λόγου μέτρα καὶ σιωπῆς. ὁ γὰρ τοῦ παντὸς κρατήσας ῥᾷον κρατήσει τοῦ μέρους. πρὸς δὲ θυμὸν ἥμεροῖ μὴ λαλούμενον ἀλλ' ἐν αὐτῷ δαπανώμενον.'

[W] ἡμεροῖ scripsi ἡμερῶν cod.

Max. 20 pp. 191–192 S.; Max. 20.8; *Flor. Bar.* c. 25 f. 81ʳ⁻ᵛ
= Greg. Naz. *Ep.* 107 (*PG*, 37 208 A)

154. Ἀριστείδης ὁ φιλόσοφος εἶπεν 'ἔστι γὰρ τῆς ἄκρας κακοδαιμονίας μὴ ἐν τοῖς ἰδίοις ἰσχυροῖς τὸ ἀσφαλὲς ἔχειν ἀλλ' ἐν τοῖς ἀλλοτρίοις σαθροῖς.'

[W]

Max. 22 p. 208 S. (post Greg. Naz.); Max. 22.12 (post Greg. Naz.); Max. 22 856 B (post Greg. Naz.); *Corp. Par.* f. 50ʳ (post Greg. Naz.)
= Greg. Naz. *Or.* 23.12 (*PG*, 35 1165 A)

155. Γρηγόριος ὁ θεολόγος ἔφη
μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται.

[W]

Max. 22 p. 208 S.; Max. 8.7 (e 138 et 155 una sententia facta est); 22.11; Max. 22 865 B; *Corp. Par.* f. 45ᵛ; cf. *Gnom. Bas.* 138
= Greg. Naz. *Carm.* 1.2 33 v. 28 (*PG*, 37 930 A)

156. Διαγόρας ποτὲ πλέων καὶ κινδυνεύων, τῶν οὖν συμπλεόντων λεγόντων ὅτι δι' αὐτὸν ἀπόλλυνται, δείξας αὐτοῖς ἕτερα πλοῖα ἐπίσης χειμαζόμενα ἔφη 'μὴ κἀκεῖ Διαγόρας;'

[WBVLPC Al.] μὴ om. BVP

Flor. Leid. 179; *Flor. Mon.* 190; *Corp. Par.* f. 151ᵛ; *APM* Schenkl 38
= Diagoras T 35 A–B W.

157. Ὁ αὐτὸς ληφθεὶς ὑπὸ Ἀθηναίων καὶ μέλλων ὑπ' αὐτῶν ἐπὶ θάνατον ἄγεσθαι ἐπὶ τῷ θεοὺς μὴ ὀνομάζειν, ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἔφη 'ὦ θεοί, εἰ ἐστὲ θεοί, σώσατέ με.'

[WBVLPC Al.] ληφθεὶς p. corr. V λειφθεὶς codd. Al. | ἐπὶ^{1} om. P | θάνατον scripsi θανάτῳ codd. Al.
= Diagoras T 25 V.

158. Διογένης εἰπόντος τινὸς 'τί μάλιστα γηράσκει παρ' ἀνθρώποις;' εἶπε 'χάρις.'

[WBVLPC Al.]

Max. 8 p. 93 S. (post Lysandr.); Max. 8.48 (post Lysandr.); Max. 8 776 A (post Lysandr.); Ant. 1.29 877 C (post. Socr.); *Flor. Bar.* c. 4 f. 13ᵛ (post Lysandr.); *Exc. Flor.* 2.12.23; Apostol. 7.77d; Favorin. 7 (in cod. Bar. gr. 50 f. 108ʳ; = Schenkl p. 468 n. 1; = Callanan–Bertini Malgarini p. 173 et p. 182) (Arist.): D.L. 5.18 (Arist.); Stob. 2.46.13; *Gnom. Vat.* 138 (post Arist.); 212 (post Demosth.); *Wien. Apophth.* 73 (post Arist.); *Gnom. Byz.* 97 (Pal. 76; Bar. 62; Par. 36; Leid. 50; Mon. 50) (anon.); *GB* Ath. 147; *GB* Clark. 85; *GB* Vind. 63
= Diog. fr. V B 328 G.

159. Ὁ αὐτὸς θεασάμενος μειράκιον μεμυρισμένον εἶπεν 'ἡ περὶ τῆς κεφαλῆς σου μυρωδία καὶ εὐωδία δυσωδίαν σου τῷ βίῳ ἐμποιεῖ.'

[WBVLPC Al.] σου² om. P

D.L. 6.66; *Corp. Par.* f. 110ʳ; Bertini Malgarini 73
= Diog. fr. V B 325 G.

160. Δημοσθένης ὁ ῥήτωρ ἐρωτηθεὶς ὑπό τινος 'τί περιποιεῖ ἡ ῥητορικὴ τοῖς μανθάνουσιν;' εἶπεν
ἄνδρ' ἐπαμύνασθαι ὅτε τις πρότερον χαλεπήνῃ (Ω 369; π 72; φ 133).

[WBVLPC Al.] Δημοσθένης ὁ ῥήτωρ] ὁ αὐτὸς Al. | ῥητορικὴ in lin. et in mg. V | εἶπεν] εἰ a. corr. V | ἐπαμήνασθαι BP

Script. Prog. 19 pp. 311–312 H.-O'N.; Doxopater *Hom. in Aphth.* p. 122 W. 2 (anon.); Eust. *ad. Od.* 16.72 p. 1794.29 sq. (anon.); Eust. *Opusc.* p. 102 T. (anon.); *Gnom. Vat.* 360 (Isoc.)

161. Διογένης θεασάμενος νεανίσκον οἰήματος πλήρη, ὃς ἦν ἐξ αὐλητρίδος, εἶπε 'νεανίσκε, μεῖζον ἔχεις τὸ φύσημα τῆς μητρός.'

[W Al.] πλήρη scripsi πλήρου W πλήθη Al.

Ath. 13.591 F (Hyp.); Eust. *ad Il.* 18.412 p. 1151.9 sqq.; *Gnom. Vat.* 173
= Diog. fr. V B 207 G.; = Hyp. fr. 91 K.; = fr. 90 J.

162. Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος 'διατί κύων καλῇ;' εἶπε 'διότι τοὺς μὴ διδόντας ὑλακτῶ, τοὺς δὲ διδόντας σαίνω, τοὺς δὲ πονηροὺς διώκω.'

[WBVLPC Al.] καλῆται p. corr. V καλεῖται Al. | διδόντας¹] δόντας B Al.

D.L. 6.60
= Diog. fr. V B 143 G.

163. Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, διὰ τίνα αἰτίαν ἄνθρωποι τοῖς μὲν προσαιτοῦσι διδόασι, τοῖς δὲ φιλοσοφοῦσιν οὔ, 'πάνυ τι' εἶπεν 'ὅτι χωλοὶ μὲν ἴσως καὶ τυφλοὶ ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δὲ οὔ.'

[WBVLPC Al.] ἀνθρώποις Al. | μὲν] μὴ B Al. om. VP

Max. 8 pp. 92–93 S.; Max. 8.45; Max. 8 773 D; D.L. 6.56; *Gnom. Vat.* 413 (Xenoph.); *App. Vat.* 2: 116 (Xenoph.); Sbordone 2: 37 (Xenoph.); Kindstrand 31 (Zeno); *Corp. Par.* f. 156ʳ⁻ᵛ (Xenoph.)
= Diog. fr. V B 366 G.

164. Δημοσθένης λοιδωρούμενος ὑπὸ ἀσώτου εἶπεν 'ᾧ οὐδέν ἐστιν ἱκανόν, τούτῳ οὐδὲ εἰπεῖν αἰσχρὸν οὐδέν ἐστιν'.

[WBVLPC Al.] ἀσώπου B | ἐστιν¹ om. P

Gnom. Par. 296 (Timotheus)

165. Ὁ αὐτὸς ἐρομένου τινὸς αὐτὸν πρεσβύτην ὄντα εἰ ἔτι γυναικὶ χρῆται 'εὐφήμει,' ἔφη 'ἐπὶ τούτῳ γὰρ τῷ γήρᾳ πλείστην ἔχω χάριν, ὅτι με ἐξελύσατο τῶν τοιούτων ἐπιθυμιῶν.'

[WBVLPC Al.] ὁ αὐτὸς] Διογένης VP | ἐφήμει BP a. corr. V | γὰρ om. V | τῷ om. V

Pl. *R.* 1.329 B–C (Soph.); Aeschin. *Ep.* 5.5 (Soph.); Plu. *Mor.* 525 A (Soph.); 788 E (Soph.); 1094 E (Soph.); Ath. 12.510 B (Soph.); Philostr. *VA* 1.13 (Soph.); Stob. 3.6.42 (Soph.); Cic. *Cato mai.* 14.47 (Soph.); Amm. Marc. 25.4.2 (Soph.); Val. Max. 4.3 ext. 2 (Soph.); *Gnom. Par.* 311 (Soph.)
= Soph. T 80a–1 *TrGF* 4 pp. 63–65

166. Δίδυμος ὁ σοφὸς εἶπε 'πᾶσα πρακτικὴ ἀρετὴ ἐν τῷ γίνεσθαι καὶ οὐκ ἐν τῷ γεγονέναι τὸ εἶναι ἔχει.'

[W] -αι (verbi γενέσθαι) e corr. cod.

Max. 1 p. 5 S.; Max. 1.27; Max. 1 725 D; Max. 1 p. 11 W. (ap. *Flor. Lips.*); Apostol. 13.100b; *Corp. Par.* f. 78ᵛ (amplior)

167. Διογένης ὁ κύων ἔφη 'οὐκ ἔστι κυνὸς ἀντάξιος οὐδ' ὄνου δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.'

[W Al.] ὄνου] ὃν Al. | δειλὸς scripsi δεινὸς cod. Al.

Max. 1 p. 9 S. (post Plu.; ante Diog.); Max. 1.43 (post. Plu.; ante Diog.); Max. 1 728 B (post Plu.); *Flor. Bar.* c. 40 f. 110ʳ (Plu.); cf. *Gnom. Bas.* 377b (anon.)
= Plu. *Mor.* 32 F

168. Ὁ αὐτὸς θεασάμενος Δημοσθένην ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα εἶπεν 'ὅσον μᾶλλον ὑποχωρεῖς, τοσοῦτον μᾶλλον ἐν τῷ καπηλείῳ ὑπάρχεις.'

[W Al.]

Max. 1 pp. 9–10 S.; Max. 1.44; Plu. *Mor.* 82 C–D; 847 F; D.L. 6.34
= Diog. fr. V B 502 G.

169. Δημοσθένης εἴρηκεν ‘ὥσπερ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας.’

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς BVP Al. | οἰκείας BP a. corr. V | τῶν[2] om. BVP Al.

Max. 1 p. 10 S.; Max. 1.46; Max. 1 728 B–C; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); *Exc. Flor.* 2.31.7 (anon.); Stob. 3.9.48; *Corp. Par.* f. 127ᵛ (Lycurg.)
= Demosth. 2.10

170. Ἰωάννης ὁ Κλίμαξ ἔφη ‘ἔθος γὰρ τῇ ἀπιστίᾳ τὴν ὠφέλειαν λυμαίνεσθαι.’

[W] ὠφέλειαν e corr. in lin. et in. mg. cod.

= Jo. Clim. *Scal.* 4 (*PG*, 88 688 D)

171. Δίων ὁ Χρυσόστομος ἔφη ‘μηδεὶς με ἡγείσθω πρὸς τὸ σχῆμα ἀφορῶντα λέγειν καὶ πρὸς τὸ ὄνομα. οὔτε γὰρ τὸν οἶνον ἐκ τοῦ κεράμου κρίνουσιν οἱ νοῦν ἔχοντες. πολλάκις γὰρ εὑρήσεις ἐν σπουδαίῳ κεράμῳ τὸν ἐκ τῶν καπηλείων οἶνον ἐξεστηκότα.’

[W]

Max. 1 pp. 10–11 S. (Dio Chronographus); Max. 1.51
= D. Chr. 49.11

172. Δημῶναξ ἔφη ‘τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ὑφέλῃς τῶν ἡδονῶν.’

[WBVLPC Al.] προσθήσῃς V | ἀφέλῃς BVP Al.

Max. 1 p. 11 S.; Max. 1.53; Max. 1 p. 181 R.; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); Ant. 1.7 796 A; *Corp. Par.* f. 104ᵛ (= *Exc. Par.* Demonax 3)
= Demonax fr. 12 F.

173. Ὁ αὐτὸς ἔφη ‘αἰσχρὸν ἐν ἄλλοις μὲν ἀποδέχεσθαι τὰς ἀρετάς, ἐν ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας.’

[WBVLPC Al.] μὲν] μὴ B Al. | αὐτοῖς P

Max. 1 p. 11 S.; Max. 1.54; Max. 1 p. 181 R.; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); Ant. 1.7 796 A; *Corp. Par.* f. 104ᵛ (= *Exc. Par.* Demonax 2)
= Demonax fr. 13 F.

174. Ὁ αὐτὸς ὠνείδιζε τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐνοίκων ἀμελοῦντας.

[WBVLPC Al.] ὠνείδισε Al. | τῶν[1] iter. B

Max. 1 p. 12 S.; Max. 1.55; Max. 1 728 D; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); *Corp. Par.* f. 105ʳ (= *Exc. Par.* Demonax 15)
= Demonax fr. 14 F.

175. Δημόκριτος ἔφη ‘τὰς μὲν γραμμὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ.’

[W]

Max. 1 p. 12 S.; Max. 1.56; Max. 1 728 D; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); *Corp. Par.* f. 94ʳ (= *Exc. Par.* Democritus 13); *Gnom. Byz.* 90 (Pal. 72; Bar. 81) (anon.); *GB* Ath. 141; *GB* Clark. 80; *Gnom. Hom.* 142
= Democr. fr. B 302.175 *FVS* 68

176. Ὁ αὐτὸς εἶπε ‘θεοῦ ἄξιον σὲ ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν.’

[WBVLPC Al.] ὁ αὐτὸς] Δημόκριτος BVP Al. | εἶπε] ἔφη Al. | ποιήσεις V | τὸ exp. V | πράττων p. corr. V

Max. 1 p. 12 S.; Max. 1.57; Max. 1 729 A; Max. 1 p. 12 W. (ap. *Flor. Lips.*); Jo. Georg. G 479 O. (Sext.); Apostol. 8.891 (anon.); Agap. *Cap. admon.* 3 (*PG*, 86: 1 1165 A); Sext. 4; Porph. *Marc.* 15 p. 284.20–21 N. (anon.); Men. *Mon.* App. 7 J.; *Corp. Par.* f. 94ᵛ (= *Exc. Par.* Democritus 22); *Pyth.* Schenkl 40; *Gnom. Byz.* 12 (Pal. 12; Bar. 5; Leid. 8; Mon. 8) (anon.); *GB* Clark. 12; *GB* Vind. 12
= Democr. fr. B 302.185 *FVS* 68

177. Διογένης ὀνειδίσαντος αὐτόν τινος ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται ἔφη ‘καὶ ὁ ἥλιος, ἀλλ’ οὐ μιαίνεται.’

[WBVLPC Al.] εἰς] εἰ W

Max. 1 p. 12 S.; Max. 1.60; Max. 1 729 A; Max. 1 p. 13 W. (ap. *Flor. Lips.*); D.L. 6.63; *Corp. Par.* f. 111ʳ
= Diog. fr. V B 269 G.

178. Διόδωρος εἶπε ‘πάντες ἄνθρωποι διὰ τὴν τῆς φύσεως ἀσθένειαν βιοῦσι μὲν ἀκαριαῖόν τι μέρος τοῦ παντὸς αἰῶνος, τετελευτήκασι δὲ πάντες τὸν ὕστερον χρόνον, καὶ τοῖς μὲν ἐν τῷ ζῆν μηδὲν ἀξιόλογον πράξασιν ἅμα ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὸν βίον, τοῖς δὲ δι’ ἀρετὴν περιποιησαμένοις δόξαν αἱ πράξεις ἅπαντα τὸν αἰῶνα μνημονεύονται, διαβοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας στόματι.’

[W]

Max. 1 p. 15 S.; Max. 1.71; Max. 1 730 C
= D.S. 1.2.3

179. Δίων ὁ Ῥωμαῖος ἔφη ‘ἀδύνατόν ἐστι τὰ ἐναντία τινὰ τοῖς [οὐκ] ὀρθῶς ἔχουσι πράττοντα καὶ ἀγαθοῦ τινος ἀπ’ αὐτῶν ἀπολαῦσαι.’

[WBVLPC Al.] οὐκ exp. V seclusi

Max. 1 p. 15 S.; Max. 1.72
= D.C. fr. 110.1 B. 1 p. 357

180. Ὁ αὐτὸς εἶπε ‘τὴν παρρησίαν παντὶ τῷ βουλομένῳ καὶ ὁτιοῦν συμβουλεῦσαί σοι μετὰ ἀναιδείας νέμε. ἄν τε γὰρ ἀρεσθῇς τοῖς λεχθεῖσιν ὑπ’ αὐτοῦ, πολλὰ ὠφεληθήσῃ, ἄν τε καὶ μὴ πεισθῇς, οὐδὲν βλαβήσῃ. καὶ τοὺς μὲν τυχόντας τῆς γνώμης καὶ ἐπαίνει καὶ τίμα (τοῖς γὰρ ἐκείνων ἐξευρήμασιν αὐτὸς εὐδοκιμήσεις), τοὺς δ’ ἁμαρτόντας μὴ ἀτιμάσῃς ποτὲ μήτ’ αἰτιάσῃ. τὴν γὰρ διάνοιαν αὐτῶν δεῖ σκοπεῖν, ἀλλ’ οὐκ ἀποτυχίαν μέμφεσθαι.’

[W] μήτ’ scripsi μὴ δ’ cod.

Max. 2 p. 18 S.; Max. 2.12
= D.C. 52.33.6–7

181. Δημῶναξ ἔφη ‘ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτόν, καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ.’

[WBVLPC Al.] καὶ ἀ- e corr. W

Max. 2 p. 21 S.; Max. 2.27; Max. 2 733 B; Max. 2 p. 15 W. (ap. *Flor. Lips.*) (post Clitarch.); Ant. 1.10 801 B; Apostol. 7.16g; *Corp. Par.* f. 104^{v} (= *Exc. Par.* Demonax 5)
= Demonax fr. 10 F.

182. a. Διόδωρος εἶπε ‘σοφὸν βούλευμα ὑπὲρ χεῖρας πολλάς, καὶ κρείσσων σοφὸς ἰσχυροῦ.’ b. ‘καλὸν γὰρ τὸ δύνασθαι τοῖς τῶν ἄλλων ἀγνοήμασι πρὸς διόρθωσιν χρῆσθαι παραδείγμασιν, καὶ πρὸς τὰ συγκυροῦντα ποικίλως κατὰ τὸν βίον ἔχειν μὴ ζήτησιν τῶν πρασσομένων, ἀλλὰ μίμησιν τῶν ⟨ἐπι⟩-τετευγμένων.’ c. ‘τοῖς μὲν γὰρ νεωτέροις τὴν τῶν γεγηρακότων περιποιεῖ σύνεσιν ἡ φρόνησις, τοῖς δὲ πρεσβυτέροις πολλαπλασιάζει τὴν ὑπάρχουσαν ἐμπειρίαν, καὶ τοὺς μὲν ἰδιώτας ἀξίους ἡγεμονίας κατασκευάζει, τοὺς δὲ ἡγεμόνας τῷ διὰ τῆς δόξης ἀθανατισμῷ προτρέπεται τοῖς καλλίστοις τῶν ἔργων ἐπιχειρεῖν.’

[W] ⟨ἐπι⟩ supplevi | e περιποιεῖσθαι in περιποιεῖ corr. cod.

a. Max. 2 p. 21 S.; Max. 2.29; Max. 2 p. 183 R.; Ant. 1.10 801 B; *Flor. Bar.* c. 9 f. 27^{r}; *Corp. Par.* f. 115^{r}
= D.S. fr. dub. 1 F. 6 p. 189
b. Max. 2 p. 21 S.; Max. 2.30
= D.S. 1.1.4
c. Max. 2 pp. 21–22 S.; Max. 2.31; *Flor. Bar.* c. 9 f. 28^{r}
= D.S. 1.1.5

183. Δίων ὁ Χρυσόστομος εἶπε ‘ταῦτα δεῖν οἶμαι συμβουλεύειν. μὴ πρότερον τί χρὴ παθεῖν ἐκεῖνο ὁρᾶν, πρὶν ἡμῖν τι πρᾶξαι καλόν, μὴ τῷ θέλειν ἡμᾶς εὐβουλοτέρους εἶναι σὺν βραδυτῆτί τινες ἄλλοι σὺν ταχυτῆτι φανῶσιν ἡμῶν εὐτυχέστεροι.’

[W] Χρυσόστομος] fortasse χρονογράφος | ἐκεῖνο scripsi ἐκείνους cod. | τῷ scripsi τὸ cod. | ἄλλοι scripsi ἀλλὰ cod.

Max. 2 p. 22 S. (Dio Chronographus)

184. Δίων ὁ Ῥωμαῖος ἔφη ‘αἰσχρὸν γάρ ἐστιν ἤτοι τὸ κατ’ ἀρχὰς μὴ ὀρθῶς δόξαι τι πεποιηκέναι ἢ αὖθις μὴ δεόντως μετεγνωκέναι. τό τε γὰρ ἀπ’ ἀρχῆς προπετῶς ἃ μὴ χρὴ πράττειν δεινόν ἐστι καὶ τὸ τὰ ἀρέσαντα ἅπαξ ἐμπλήκτως λύειν δεινότερον.’

[W] γάρ ἐστιν scripsi ἀρετὴ cod. | δεόντως scripsi δὲ ὄντως cod. | τό τε scripsi τῷ τε cod. | τὸ^{2} scripsi τῷ cod. | -τερον (verbi δεινότερον) e corr. in lin. et in mg. iter. cod.

Max. 2 p. 23 S.; Max. 2.35 (post Arist.)
= D.C. 13 fr. 55.3a B. 1 p. 196

185. Ὁ αὐτὸς ἔφη ‘δεῖ τοὺς ὀρθῶς καὶ καλῶς βιοῦντας καὶ τοῖς πράγμασιν χρωμένους προδιασκοπεῖν πρότερον ἃ δεῖ ποιεῖν, εἶθ’ οὕτω τοῖς ἀρέσασι χρήσασθαι. αἰσχρὸν γάρ ἐστι ⟨πρὸς⟩ τὰ ἔργα πρὸ τῶν λόγων χωρεῖν, ἐν ᾧ κατορθώσαντες μὲν εὐτυχηκέναι μᾶλλον ἢ καλῶς βεβουλεῦσθαι δόξετε, σφαλέντες δέ τι τὴν σκέψιν ἀπρονοήτως, ὅτ’ οὐδὲν ὄφελός ἐστι, ποιήσασθαι.’

[W] ⟨πρὸς⟩ supplevi | ὅτ’ scripsi ὅταν cod. | ποιήσασθαι scripsi ποιήσεσθε cod.

Max. 2 pp. 23–24 S.; Max. 2.36 (post Arist.)
= D.C. 13 fr. 55.3b B. 1 p. 196

186. Δημόκριτος εἶπε ‘φρονήσεως ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ γενομένην καὶ μὴ ἀμύνασθαι.’

[WBVLPC Al.] Δημόκριτος εἶπε] Δημόκριτος ἔφη BVP om. Al. | μέλλουσιν Al. | ἀναλγησίης ... γενομένην scripsi ἀναλγησίην ... γινομένης codd. Al. | μὴ om. WB Al. | ἀμύνεσθαι P

Max. 2 p. 24 S.; Max. 2.39; Max. 2 733 B–C; Max. 2 p. 15 W. (ap. *Flor. Lips.*); Stob. 3.3.43
= Democr. fr. B 193 *FVS* 68

187. Διογένης ‘δεινὸν’ ἔλεγεν ‘εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς κρατοῦσι καὶ ἡδονῶν, οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος. σωφροσύνης δὲ ἕνεκα πῶς τούτων οὐ καταφρονήσομεν;’

[WBVLPC Al.] μὲν^{1}] μὴ B | καταφρονήσομεν scripsi καταφρονήσωμεν codd. Al.

Max. 3 p. 35 S.; Max. 3.30; Max. 3 741 C–D; Max. 3 p. 22 W. (ap. *Flor. Lips.*) (post Clitarch.); *Flor. Bar.* c. 41 f. 112r; Stob. 3.5.39
= Diog. fr. V B 451 G.

188. Δημόκριτος ἔφη 'ἔνιοι πόλεων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.'

[WBVLPC Al.] Δημόκριτος ἔφη om. Al. | πόλεων scripsi πολέμω BP a. corr. V πολέμων W p. corr. V

Max. 3 pp. 35–36 S.; Max. 3.32; Max. 3 744 A (Demonax); Ant. 1.12 804 C (amplior; post Arist.); Apostol. 7.48a; Stob. 3.6.26; 3.7.25 (amplior); *Corp. Par.* ff. 125v–126r
= Democr. fr. B 214 *FVS* 68; = Demonax fr. 27 F.

189. Ὁ αὐτὸς εἴρηκε 'πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.'

[WBVLPC Al.] ὁ αὐτὸς εἴρηκε om. Al.

Max. 3 p. 36 S.; Max. 3.33; Max. 3 p. 185 R. (post Democraten); Max. 3 p. 22 W. (ap. *Flor. Lips.*) Ant. 1.14 812 D; *Flor. Bar.* c. 41 f. 112r; Stob 3.5.24; *Gnom. Byz.* 61 (Pal. 53; Bar. 45; Leid. 37; Mon. 35) (anon.); *GB* Clark. 58
= Democr. fr. B 208 *FVS* 68

190. Ὁ αὐτὸς εἴρηκε 'τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.'

[WBVLP Al.] ὁ αὐτὸς ἔφη BVP om. Al.

Max. 3 p. 36 S.; Max. 3.34; Max. 3 p. 185 R. (post Democraten); Max. 3 p. 22 W. (ap. *Flor. Lips.*); Ant. 1.14 812 D; *Flor. Bar.* c. 41 f. 112r; Stob. 3.5.26; *Corp. Par.* f. 125v
= Democr. fr. B 210 *FVS* 68

191. Ὁ αὐτὸς ἔφη 'μὴ ταχὺ ἐπὶ σεαυτῷ μέγα φρονήσῃς, ὅταν τινὰ ἡδονὴν προιοῦσαν παραιτήσῃ. πολλὰ γὰρ λανθάνομεν ἑαυτοὺς οὐ δεδαμακότες τὴν ἐπιθυμίαν, ἀλλ' ὑπ' αὐτῆς μᾶλλον ἐνοχλούμενοι.'

[WBVLPC Al.] ὁ αὐτὸς ἔφη om. Al. | ὅταν ... παραιτήσῃ om. BVP Al.

Max. 3 p. 36 S.; *Flor. Bar.* c. 41 f. 112r; *Gnom. Byz.* 186 (Pal. 136; Bar. 137; Leid. 78; Mon. 82) (anon.); *GB* Ath. 80; *GB* Clark. 152

192. Δημοσθένης ἔφη 'δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al.

Max. 3 p. 38 S.; Max. 3.43; Max. 3 744 B; Stob. 3.17.20; *Corp. Par.* f. 129r
= Demosth. *Prooem.* 28.1

193. Δημόκριτος εἶπεν 'ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τὸ καλὸν αἱρεῖσθαι δεῖ.'

[WBVLPC Al.] Δημόκριτος εἶπεν om. Al. | ἡδονῆς BVP

Max. 3 p. 38 S. (DIE); Max. 3.46 (DIE); Max. 3 p. 186 R. (Isoc.); Max. 3 p. 23 W. (ap. *Flor. Lips.*) (Isoc.); Ant. 1.14 812 D (post Epict.); *Flor. Bar.* c. 41 f. 112r (post Pythag.); Stob. 3.5.22; *Gnom. Byz.* 187 (Pal. 137; Par. 77; Bar. 135; Leid. 79; Mon. 83) (anon.); *GB* Ath. 76; *GB* Clark. 153; *GB* Vind. 136; Bertini Malgarini 76
= Democr. fr. B 207 *FVS* 68

194. Ὁ αὐτὸς ἔφη 'ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.'

[WBVLPC Al.] κρείσσων om. V

Max. 4 p. 42 S. (anon.); Max. 4.11; Max. 4 p. 186 R.; Ant. 1.12 804 C (amplior; post Arist.); Stob. 3.7.25 (amplior); 3.17.39; *Corp. Par.* f. 95v (= *Exc. Par.* Democritus 37); Boissonade, 3 p. 468 (anon.)
= Democr. fr. B 214 *FVS* 68

195. Δαρεῖος ὁ τῶν Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυριάδων ἐν Μαραθῶνι ἐστρατοπεδεύσατο. Ἀθηναῖοι δὲ χιλίους ἔπεμψαν στρατηγοὺς δόντες αὐτοῖς Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον, καὶ Μιλτιάδην. συμβληθείσης δὲ τῆς μάχης καὶ τῆς παρατάξεως Πολύζηλος μὲν ὑπεράνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλε καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ. Καλλίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασι νεκρὸς ἐστάθη. Κυναίγειρος δὲ Περσικὴν ἀγομένην ναῦν κατέχων ἐχειροκοπήθη, ὅθεν καὶ εἰς αὐτοὺς ⟨ὑπὸ⟩ Παντελείου τοιάδε γεγράφθαι λέγεται

> ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο
> ἡμετέρῳ βασιλῆι τί λέξομεν ⟨ἀντιάσαντες⟩;
> ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
> βάλλομεν, οὐ πίπτουσιν. τιτρώσκομεν, οὐ φοβέονται.
> μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν. ἐν δ' ἄρα μέσσῳ
> αἱματόεις ἕστηκε, ⟨ἀτερέος Ἄρεος εἰκών,
> δένδρον δ' ὡς ἕστηκε⟩ σιδηρείαις ὑπὸ ῥίζαις,
> κοὐκ ἐθέλει πεσέειν, τάχα δ' ἔρχεται [δ'] ἔνδοθεν νηῶν.
> λῦε, κυβερνῆτα, νέκυος προσφύγωμεν ἀπειλάς.

[W] ⟨ὑπὸ⟩ supplevi | βασιλῆι scripsi βασιλεῖ cod. | ⟨ἀντιάσαντες⟩ supplevi | ⟨ἀτερέος ... ἕστηκε⟩ supplevi | [δ'] seclusi | προσφύγωμεν scripsi προσφύγομεν cod.

Max. 4 pp. 45–46 S. (Plu.); Max. 4.27 (Plu.); Max. 4 748 D–749 B (Plu.); *Flor. Bar.* c. 40 f. 110v (Plu.); Stob. 3.7.63 (Plu.); *Corp. Par.* ff. 126r–127r (Plu.); *Gnom. Par.* 101; *Sch. ad. Aristid.* 1.101 L.-B. pp. 126–127 D. 3
= Plu. *Mor.* 305 B–C (Δαρεῖος ... ἐχειροκοπήθη); = *AP* 16.6* p. 607 D. 3

196. Δημοσθένης ἔφη 'ἐγὼ νομίζω πάντας ἀνθρώπους ἐράνους εἰσφέρειν παρὰ πάντα τὸν βίον αὑτοῖς, οὐ τοὺς μόνους οὓς συλλέγουσι τινες καὶ ὧν πληρωταὶ γίνονται, ἀλλὰ καὶ ἄλλους. οἷον ἔστι τις μέτριος καὶ φιλάνθρω-

πος ἡμῶν καὶ πολλοὺς ἐλεῶν. τούτῳ ταὐτὸ δίκαιον ὑπάρχειν εἰκὸς παρὰ πάντων.

[W] μόνους scripsi νόμους cod. | τούτῳ scripsi τοῦτο cod.

Max. 5 p. 50 S.
= Demosth. 21.184–185

197. Δημοσθένης ὁ μικρὸς ἔφη 'δεῖ μήτε πλείω τοῖς δικασθεῖσι προστιθέναι φιλανθρωπίας ἕκαστον τῆς τεταγμένης ἀνάγκης ὑπὸ τῶν νόμων μήτ' αὖ πικροτέρους εἶναι τῶν νενομισμένων. ἑκάτερον γάρ ἐστιν ἄτοπον. καὶ τὸ προστιθέναι τῷ κατεψηφισμένῳ καὶ τὸ τοῖς οὕτω πράττουσιν ἐπιεικείας ἀφελεῖν παρὰ τοὺς νόμους.'

[W] ἀνάγκῃ Förster | τὸ^1 scripsi τῷ cod. | κατεψηφισμένῳ scripsi καταψηφισμένῳ cod. | τὸ^2 scripsi τῷ cod. | παρὰ scripsi περὶ cod.

Max. 5 p. 51 S.; *Flor. Bar.* c. 5 f. 16^v
= Lib. *Decl.* 2.11 F. 5 p. 132

198. Δημῶναξ καταιτιωμένου τινὸς τῶν ἑταίρων αὐτὸν καὶ φήσαντος 'οὐκ ἐχρῆν σὲ τῷ ἐχθρῷ μου φίλον εἶναι' 'σὲ μὲν οὖν' ἔφη 'οὐκ ἐχρῆν τῷ φίλῳ μου ἐχθρὸν εἶναι.'

[WBVLPC Al.] αὐτὸν scripsi αὐτῷ codd. Al. | ἐχθὸν εἶναι] εἶναι ἐχθρόν BVP εἶναι Al.

Max. 6 p. 58 S.; Max. 6.38; Max. 6 p. 4 W. (ap. *Flor. Lips.*); *Flor. Bar.* c. 11 f. 36^r; *Gnom. Par.* 103; Miller 16 p. 222; Bertini Malgarini 97 (anon.)
= Demonax fr. 21 F.

199. Διόδωρος ὁ Σικελιώτης ἔφη ὅτι τις τῶν Πυθαγορείων Διονυσίου τοῦ νεωτέρου τυραννοῦντος ἐν Συρακούσαις κατεδικάσθη ἐπιβεβουλευκὼς τῷ τυράννῳ. μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν ᾐτήσατο χρόνον εἰς τὸ περὶ τῶν ἰδίων πρότερον ἃ βούλεται διοικῆσαι. δώσειν δέ φησιν ἐγγυητὴν τοῦ θανάτου τῶν φίλων ἕνα. τοῦ δὲ δυνάστου θαυμάσαντος, εἰ τοιοῦτός ἐστι τις φίλος ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ' ἐκείνου παραδώσει, προσεκαλέσατο ἕνα τῶν γνωρίμων Πυθαγορείων, ὃς οὐ διστάσας εὐθὺς ἔγγυος ἐγενήθη τοῦ θανάτου. πρὸς δὲ τὴν τεταγμένην ὥραν ἅπας ὁ δῆμος συνέδραμε καραδοκῶν εἰ φυλάξει τὴν πίστιν ὁ καταστήσας. ἤδη δὲ τῆς ὥρας συγκλειούσης πάντες μὲν ἀπεγίνωσκον, ὁ δὲ Φιντίας δρομαῖος παρεγενήθη τοῦ Δάμονος ἀπαγομένου πρὸς τὴν ἀνάγκην. θαυμαστῆς δὲ τῆς φιλίας φανείσης ἅπασιν ἀπέλυσεν ὁ Διονύσιος τῆς τιμωρίας τὸν ἐγκαλούμενον καὶ παρεκάλεσε τοὺς ἄνδρας τρίτον ἑαυτὸν εἰς τὴν φιλίαν προσλαβέσθαι.

[W] Φιντίας scripsi φὴ τίνας cod.

Max. 6 pp. 58–59 S.; Max. 6.39; *Flor. Bar.* c. 11 f. 36^v
= D.S. 10.4.3–6

200. Δίων ὁ Χρυσόστομος εἴρηκεν 'ὅσῳ δ' ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιῇ, οὗτος ἰσχυρότερος γίνεται.'

[WBVLPC Al.] ποιεῖ BVP ποιοῖ Al. | οὗτος] fortasse οὕτως

Max. 6 p. 64 S.; Max. 6.81 (anon.); Max. 6 764 A; *Flor. Bar.* c. 11 f. 37^r; Apostol. 13.10h
= D. Chr. 3.89

201. Ὁ αὐτὸς εἶπε 'ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων ἢ μόνος εὐτυχίαν τὴν μεγίστην.'

[WBVLPC Al.] φέρει codd. | -στην (verbi μεγίστην) om. Al.

Max. 6 p. 64 S.; Max. 6.82 (anon.); Max. 6 764 B; Ant. 1.24 849 C; *Flor. Bar.* c. 11 f. 37^r
= D. Chr. 3.102

202. Ὁ αὐτὸς ἔφη 'ὁ τοῖς φίλοις χαριζόμενος ἅμα μὲν ὡς χαριζόμενος ἥδεται διδούς, ἅμα δὲ ὡς αὐτὸς κτώμενος.'

[WBVLPC Al.] τοῖς] τῆς Al. | ἅμα μὲν ὡς χαριζόμενος om. Al. | ὡς^2] καὶ BVP

Max. 6 pp. 64–65 S.; Max. 6.84 (anon.); Max. 6 764 B; *Flor. Bar.* c. 11 f. 37^r; Apostol. 13.13o
= D. Chr. 3.110

203. Δημοσθένης ὀνειδιζόμενος ὅτι πονηροῖς συνδιατρίβει 'ἐκεῖνος' ἔφη 'ἄριστος ἰατρός ἐστιν, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.'

[WBVLPC Al.]

Max. 6 p. 65 S.; Max. 6.93; Max. 6 760 C (post Arist.); *Corp. Par.* f. 108^r; *Gnom. Par.* 104

204. Ὁ αὐτὸς ἔλεγεν ὅτι 'τὸ πᾶσιν ἀρέσαι δυσχερέστατόν ἐστιν.'

[WBVLPC Al.] ἔλεγεν ὅτι] ἔλεγε VP | ἀρέσαι scripsi ἀρέσον W Al. a. corr. B ἀρέσκειν VP p. corr. B

Max. 6 p. 65 S.; Max. 6.94; Max. 6 760 D (post Arist.); Stob. 4.4.22; *Corp. Par.* f. 114^r; *Gnom. Vat.* 221
= Demosth. fr. 24 B.-S.

205. Ὁ αὐτὸς ἔφη 'ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ ⟨ἡ⟩ φιλία τοῖς τῶν χρωμένων ἤθεσι.'

[WBVLPC Al.] κιρρᾶται W | πινόντον Al. | ⟨ἡ⟩ supplevi | φιλία scripsi φιλ W φίλοις BVP φίλος Al.

Max. 6 p. 65 S.; Max. 6.92; Max. 6 p. 191 R.; Ant. 1.24 849 C; *Flor. Bar.* c. 11 f. 37^r; *Exc. Flor.* 1.10.12 (Arist.); Stob. 2.33.12 (Arist.); Phot. *Opusc. paraen.* 194 S. p. 22;

Corp. Par. f. 89ᵛ; *Gnom. Hom.* 193 (Arist.); Cramer (Par.), 1 p. 167 (Pl. Com.)
= Demosth. fr. 27 B.-S.; = Arist. Sent. 20 R. p. 610; = Pl. Com. fr. 295 *PCG* 7 pp. 545–546

206. Δημώναξ εἴρηκεν 'ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων. τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι.'

[WBVLPC Al.] ἐχθρῶν et φίλων transp. codd. | γὰρ om. B | γίνωνται W | εὐεπιβούλευτοι scripsi ἐπιβούλευτοι codd. Al. εὐβούλευτοι p. corr. V

Max. 6 p. 68 S.; Max. 6.115; Max. 6 p. 192 R.; Ant. 1.25 853 B; Apostol. 7.7a; *Corp. Par.* f. 105ᵛ (= *Exc. Par.* Demonax 18); *Gnom. Vat.* 424 (Pl.); *App. Vat.* 1: 107 (brevior; Pl.)
= Demonax fr. 18 F.; = Pl. Sent. 15 S.

207. Ὁ αὐτὸς ἔλεγε 'φεύγειν δεῖ κακῶν φιλίαν καὶ ἀγαθῶν ἔχθραν.'

[W Al.]

Max. 6 p. 70 S. (Epict.); Max. 6.124 (post DIE); Max. 6 761 C (Epict.); Ant. 1.25 853 C (post Philist); *Flor. Bar.* c. 11 f. 38ʳ (post DIE); Jo. Georg. G 1078 O. (anon.); *Gnom. Vat.* 460 (post Pythag.); *Wien. Apopth.* 122 (Hyp.); *Flor. Leid.* 243 (post Hyp.); *Flor. Mon.* 257 (post Hyp.); *App. Gnom.* 82 (post Pl.); *App. Vat.* 2: 134 (Pythag.); *Gnom. Byz.* 166 (Pal. 124; Leid. 73; Mon. 74) (anon.); *GB* Ath. 226; *GB* Clark. 139; *GB* Vind. 108; Boissonade, 3 p. 469 (anon.)
= Pl. Sent. 21 S.; = Hyp. fr. 209 K.; = fr. 209 J.

208. Ὁ αὐτὸς ἔφη 'ἀπ' οὐδενὸς δοκήσει φιλεῖσθαί τις μηδένα φιλῶν'.

[WBVLPC Al.] ἀπ'] ἐπ' codd.

Max. 6.125 (post DIE); Max. 6 p. 192 R. (post DIE); Ant. 1.24 852 B (post Epict.); *Gnom. Byz.* 168 (Pal. 126; Par. 53; Leid. 74; Mon. 75) (anon.); *GB* Cas. 53; *GB* Clark. 141; *GB* Vind. 125

209. Ὁ αὐτὸς εἶπεν 'ἰατρὸν καὶ φίλον οὐ τὸν ἴδιον, ἀλλὰ τὸν ὠφελιμώτερον ἐκλέγεσθαι δεῖ.'

[WBVLPC Al.] εἶπεν] ἔφη BVP Al.

Max. 6 p. 70 S. (post Epict.); Max. 6.126 (post DIE); Max. 6 p. 192 R. (post DIE); Ant. 1.24 852 B (post Epict.); 1.56 953 B (post Demetr.); *Flor. Bar.* c. 11 f. 38ʳ (post DIE); *Gnom. Byz.* 170 (Pal. 128; Par. 55; Bar. 154; Leid. 75; Mon. 76) (anon.); *GB* Cas. 55; *GB* Clark. 143; *GB* Vind. 127

210. Δημοσθένης ἔφη 'δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al. | ἀθρώπων a. corr. P

Max. 7 pp. 83–84 S.; Max. 7.35; Max. 7 769 C; Stob. 4.5.66
= Demosth. 27.68

211. Ὁ αὐτὸς ἐγκαλούντων αὐτῷ τινων φίλων, ὅτι πονηρῷ τινι κρινομένῳ συνεῖπε, τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας.

[WBVLPC Al.] βοήθειαν W

Max. 7 p. 84 S.; Max. 7.36

212. Δημόκριτος εἶπε 'ξένοις μεταδίδου καὶ τοῖς δεομένοις ἐκ τῶν ἐνόντων. ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδ' αὐτὸς λήψεται δεόμενος.'

[W Al.]

Max. 7 p. 84 S. (DIE); Max. 7.40 (DIE); Max. 7 769 D (DIE); Ant. 1.27 872 D (Democr.); Jo. Georg. G 733 O.; Apostol. 12.21b; Sext. 378 (brevior); *Gnom. Byz.* 117 (Pal. 92; Par. 68; Bar. 63; Leid. 56; Mon. 56) (anon.); *GB* Ath. 43; *GB* Clark. 102; *GB* Vind. 79; *Pyth.* Schenkl 70a–b

213. Διονύσιος ὁ πρεσβύτερος αἰτιωμένων τινῶν αὐτὸν ὅτι τιμᾷ καὶ προσάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν 'ἀλλὰ καὶ βούλου⟨μαι⟩' εἶπεν 'εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον.'

[W] ex αὐτῶν in αὐτὸν corr. cod. | προσάγεται scripsi προάγεται cod. | ⟨μαι⟩ supplevi

Max. 8 pp. 88–89 S.; Max. 8.19; Plu. *Mor.* 176 B (Dionysius 11)

214. Δημοσθένης ἐρωτηθεὶς 'τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ;' ἔφη 'τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς BVP Διονύσιος ὁ πρεσβύτερος Al. | ἔχῃ Al. | ἀληθεύειν e corr. P

Max. 8 p. 89 S.; Max. 8.26; Max. 8 773 B (Democr.); Ant. 1.29 877 B; *Flor. Bar.* c. 4 f. 13ᵛ; Jo. Georg. G 505 O.; Clitarch. 63; *Corp. Par.* f. 89ᵛ (post Demosth.); ff. 94ᵛ–95ʳ (= *Exc. Par.* Democritus 23); *Gnom. Vat.* 53 (post Arist.); *Wien. Apophth.* 71 (Arist.); *App. Gnom.* 13 (Arist.); *App. Vat.* 1: 195 (Praxagoras); *Gnom. Byz.* 10 (Pal. 10; Bar. 8; Leid. 6; Mon. 6) (anon.); 98 (Pal. 77) (anon.); *GB* Cas. 9; *GB* Clark. 10; *GB* Vind. 10; *Pyth.* Schenkl 43; Boissonade, 1 p. 131 (anon.); Bertini Malgarini 172 (anon.); cf. *Gnom. Bas.* 390 (Epict.)
= Democr. fr. B 302.186 *FVS* 68

215. Ὁ αὐτὸς ἔλεγε 'χαρίζεται μὲν οὐδὲν ὁ διδοὺς ἀπὸ ὀλίγων μικρὰ τοῖς πολλὰ κεκτημένοις. ἀπιστούμενος δὲ ἀντὶ μηδενὸς διδόναι κακοηθείας καὶ ἀνελευθερίας ⟨προσ⟩λαμβάνει δόξαν.'

[W] ⟨προσ⟩ supplevi

Max. 8 p. 89 S. (brevior); Max. 8.27

216. Δημόκριτος ἔφη ‘αἱ μικραὶ χάριτες ἐν καιρῷ μέγισταί εἰσι τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει.’

[WBVLPC Al.]

Max. 8 p. 90 S.; Max. 8.32; Max. 8 p. 195 R.; Ant. 1.29 877 B; *Flor. Bar.* c. 4 f. 13ᵛ; Jo. Georg. G 692 O.; *Corp. Par.* f. 94ᵛ (= *Exc. Par.* Democritus 16); *Gnom. Byz.* 92 (Pal. 73; Bar. 58; Leid. 49; Mon. 58) (anon.); *GB* Ath. 143; *GB* Clark. 82; *GB* Vind. 61; *Exc. Vind.* 17 (anon.)
= Democr. fr. B 94; B 302.179 *FVS* 68

217. Ὁ αὐτὸς εἶπε ‘μικρὰ διδόναι βούλου μᾶλλον ἢ μεγάλα ἐγγυᾶν. ὅ τε γὰρ κίνδυνος ἄπεστι καὶ ὁ λαβὼν ἔργου, οὐ λόγου χρείαν ἔχει.’

[W Al.] ὁ αὐτὸς εἶπε om. Al.

Max. 8 p. 90 S.; Max. 8.33; Max. 8 p. 195 R.; Ant. 1.29 877 B; *Corp. Par.* f. 95ʳ (= *Exc. Par.* Democritus 29)
= Democr. fr. B 302.192 *FVS* 68

218. Ὁ αὐτὸς ἔλεγεν ‘ᾧτινι τὴν χάριν καταθῇς, θᾶττον τὴν χάριν δίδου. ἡ γὰρ βραδυτὴς λυμαίνεται τὴν δόσιν.’

[WBVLPC Al.] καταθῇς p. corr. V καταθείς codd. Al.

Max. 8 p. 90 S.; Max. 8.34; Max. 8 p. 195 R.; Ant. 1.29 877 B; *Flor. Bar.* c. 4 f. 13ᵛ; *Corp. Par.* f. 98ʳ⁻ᵛ (= *Exc. Par.* Socrates 22)

219. Ὁ αὐτὸς ‘κρεῖσσον τοῦ λέγειν τὸ πράττειν ἐστὶν’ ἔφη.

[W Al.] ἐστιν om. Al.

Exc. Flor. 1.7.41 (Demosth.); Stob. 2.15.41 (Demosth.)
= Demosth. 3.15

220. Ὁ αὐτὸς ἰδών τινα προχείρως πᾶσι χαριζόμενον καὶ ἀνεξετάστως ὑπηρετούμενον ‘κακῶς’ ⟨εἶπεν⟩ ‘ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας πόρνας ἐποίησας.’

[WBVLPC Al.] ⟨εἶπεν⟩ supplevi | ἀπόλλοις W ἀπόλλοιο BVP

Max. 8 pp. 90–91 S.; Max. 8.35; Max. 8 773 B; *Flor. Bar.* c. 4 f. 14ʳ⁻ᵛ; Stob. 3.15.8 (Socr.); *Corp. Par.* f. 128ᵛ (Socr.); *Gnom. Vat.* 492 (post Socr.); *Gnom. Par.* 116

221. Ὁ αὐτὸς εἶπε ‘δυνάμενος χαρίζεσθαι, μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.’

[WBVLPC Al.] πράματα B

Max. 8 p. 91 S.; Max. 8.36; Max. 8 p. 195 R.; Ant. 1.29 877 B; Apostol. 6.38b (anon.)

222. Διογένης ἐρωτηθεὶς πῶς ἄν τις πολιτεύηται ἔφη καθάπερ πυρί, μήτε λίαν ἐγγὺς εἶναι, ⟨ἵνα μὴ κατακαῇ⟩, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃ.

[WBVLPC Al.] πολιτεύεται BP a. corr. V πολιτεύοιτο Al. πολιτεύοιται p. corr. V | ⟨ἵνα μὴ κατακαῇ⟩ supplevi | πόρρα B | ῥιγώσῃ scripsi ῥιγῶσιν codd. Al.

Max. 9 p. 105 S.; Max. 9.45; Max. 9 780 B; Ant. 2.1 1005 D–1008 A; *Flor. Bar.* c. 28 f. 87ʳ; Stob. 4.4.28 (Antisth.); *Corp. Par.* f. 111ᵛ; *Gnom. Vat.* 8 (post Antisth.); *Wien. Apophth.* 98 (post Antisth.); *App. Gnom.* 24 (post Antisth.); *Gnom. Par.* 69 (Antisth.); 123
= Diog. fr. V B 357 G.; = Antisth. fr. V A 70 G.; = Aesopus Sent. 18 P. p. 252

223. a. Δημοσθένης ἔλεγεν ‘τὸν μὲν διδόντα χάριν χρὴ παράχρημα ἐπιλανθάνεσθαι, τὸν δὲ λαβόντα διὰ παντὸς μεμνῆσθαι’. b. ‘ὥσπερ ἐπὶ τῆς τῶν χρημάτων κτήσεως. ἂν μὲν ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δὴ ἀναλώσας λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδὲ εἰ συνέβη τι παρὰ τοῦ θεοῦ χρηστόν τι μνημονεύουσι. πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν προυπαρξάντων ὡς τὰ πολλὰ κρίνεται.’

[W] τύχῃ et τύχῃ scripsi ψυχῇ et ψυχῇ cod. | παρὰ scripsi περὶ cod.

a. Max. 8 pp. 93–94 S.; Max. 8.51; Max. 8 776 A; *Flor. Bar.* c. 4 f. 13ᵛ (post Sext.)
b. Max. 8.52
= Demosth. 1.11

224. Ὁ αὐτὸς εὐχερῶς αὐτῷ ἀργύριον χρήσαντός τινος, ἐπεὶ ἑώρα πολλοῖς τὸ αὐτὸν ποιοῦντα, ‘οὐκ ἔτι σοι’ ἔφη ‘χάριν ἔχω, νόσῳ γὰρ καὶ οὐ κρίσει τοῦτο ποιεῖς.’

[W] ποιοῦντα e corr. in lin. del. et in mg. add. cod.

Max. 8 p. 94 S.; Max. 8.54; *Gnom. Vat.* 223; *Gnom. Par.* 119; Miller 17 p. 222

225. Δίων ὁ Ῥωμαῖος ἔλεγεν ‘πάντα ὅσα ἀρχομένους καὶ φρονεῖν καὶ πράττειν βούλει καὶ λέγε καὶ πράττε. οὕτω γὰρ ἂν μᾶλλον παιδεύσειας αὐτοὺς ἢ ταῖς ἐκ τῶν νόμων τιμωρίαις. τὸ μὲν γὰρ ζῆλον, τὸ δὲ φόβον ἔχει. καὶ ῥᾷόν τις μιμεῖται τὰ κρείττω ὁρῶν ἔργῳ γινόμενα ἢ φυλάττεται τὰ χείρω ἀκούειν λόγῳ κωλυόμενα.’

[W] βούλει scripsi βούλου cod.

Max. 9 pp. 101–102 S.; Max. 9.22; Ant. 2.1 1005 A–B
= D.C. 52.34.1

226. Ὁ αὐτὸς εἴρηκε ‘πέφυκε γὰρ ὡς ἀεὶ πρὸς τὰς γνώμας [τῶν ἀνθρώπων λέγω δὴ] τῶν ἀρχόντων τυποῦσθαι καὶ τὸ ὑποχείριον.’

[W] [τῶν … δὴ] seclusi

Max. 9 p. 102 S.; Max. 9.29; Ant. 2.1 1005 B
= D.C. fr. 110.3 B. 1 p. 358

227. Ὁ αὐτὸς ἔλεγεν 'δεῖ τὸν ἑτέρων μέλλοντα ἄρξειν αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.'

[WBVLPC Al.] ὁ αὐτὸς ἔλεγεν] Δίων ὁ Ῥωμαῖος ἔλεγε(ν) BVP om. W | τὸν] τῶν BVP | ex ἑταῖρον in ἑταίρων corr. W ἑταίρων Al.

Max. 9 p. 103 S. (post Democr.); Max. 9.33 (post Democr.); Max. 9 780 B (post Democr.); *Flor. Bar.* c. 28 f. 87ʳ (post Democr.); *Corp. Par.* f. 94ʳ⁻ᵛ (= *Exc. Par.* Democritus 15)
= Democr. fr. B 302.178 *FVS* 68

228. Διόδωρος ἔλεγεν ὅτι 'μηδεὶς ἐλπιζέτω τῶν τυχόντων ὑπεροχῆς τινος, ἂν ἐξαμαρτάνῃ μεγάλα, λήσεσθαι διὰ τέλους ἀνεπιτίμητος. καὶ γὰρ ἂν ⟨ἐν⟩ τῷ καθ' ἑαυτὸν βίῳ διαφύγῃ τὸν ⟨ἀπὸ⟩ τῆς ἐπιτιμήσεως λόγον, ὕστερον ἥξειν ἐπ' αὐτὸν προσδεχέσθω τὴν ἀλήθειαν μετὰ παρρησίας κηρύττουσαν τὰ πάλαι σιωπώμενα.'

[W] ὑπεροχῆς scripsi ὑπεροχῇ cod. | ⟨ἐν⟩ supplevi | ἑαυτὸν scripsi ἑαυτῷ cod. | βίῳ e corr. in lin. et βίῳ in mg. add. cod. | ⟨ἀπὸ⟩ supplevi | σιωπώμενα scripsi σιωπούμενα cod.

Max. 9 p. 108 S. (post Isoc.); Max. 9.59; Ant. 2.1 1008 C–D
= D.S. 14.1.2

229. Δεῖ τὸν καλῶς βασιλεύοντα δίκαιον καὶ μεγαλόψυχον καὶ ἀληθῆ καὶ μεταδοτικὸν εἶναι καὶ πάσης ἐπιθυμίας κρείττονα, καὶ τὰς μὲν τιμωρίας ἐλάττους τῆς ἀξίας, τὰς δὲ χάριτας μείζους τῆς εὐεργεσίας ἀποδιδόναι τοῖς ὑπηκόοις καὶ φίλοις.

[W]

Max. 9 pp. 108–109 S. (post Isoc.); Max. 9.60 (post D.S.); Ant. 2.1 1008 D (post D.S.)
= D.S. 1.70.6

230. Ἰωάννης ὁ Κλίμαξ ἔφη 'διὰ ταπεινώσεως πᾶν ἀγαθὸν ἐπεισέρχεται.'

[W]

= Jo. Clim. *Scal.* 5 Sch. 26 (*PG*, 88 792 B)

231. Δημόκριτος εἶπε 'πονηρὰ φύσις ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.'

[WBVLPC Al.] ἐπιλαμβανομένη BVP Al.

Max. 9 p. 112 S.; Max. 9.76; Max. 9 781 D; Ant. 2.2 1012 C; *Flor. Bar.* c. 28 f. 87ʳ; Stob. 4.1.35 (Aeschin.; post Democr.); *Corp. Par.* f. 93ᵛ (= *Exc. Par.* Democritus 5); Boissonade, 1 p. 118
= Democr. fr. B 302.167 *FVS* 68; = Aeschin. 3.147

232. Δημοσθένης ἔφη 'τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al.

Max. 9 p. 112 S.; Max. 9.80; Max. 9 781 D–784 A; Ant. 2.2 1012 C–D; *Flor. Bar.* c. 28 f. 87ʳ; cf. *Gnom. Bas.* 279
= Demosth. 1.23

233. Ὁ αὐτὸς ἔλεγεν 'ἡ μάχαιρα μὲν τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.'

[WBVLPC Al.] μὲν om. P | τέμνῃ B | διαρολὴ P a. corr. V

Max. 10 p. 116 S (Democr.); Max. 10.25 (Democr.); Max. 10 785 A (Democr.); Ant. 2.69 1165 B (post Chabr.); *Flor. Bar.* c. 30 f. 90ᵛ (Democr.): Apostol. 8.55c; *Corp. Par.* f. 95ʳ (= *Exc. Par.* Democritus 26); *Gnom. Byz.* 157 (Pal. 117; Bar. 181); *GB* Cas. 49; *GB* Clark. 131; *GB* Vind. 102; *Gnom. Hom.* 179d
= Democr. fr. B 302.189 *FVS* 68

234. Ὁ αὐτός τινος σοφιστοῦ αἰτιωμένου αὐτὸν καὶ φήσαντος 'διὰ τί με κακῶς λέγεις;' ἔφη 'ὅτι ⟨μὴ⟩ καταφρονεῖς τῶν κακῶς λεγόντων.'

[W] με κακῶς scripsi μὴ καλῶς cod. | ⟨μὴ⟩ supplevi

Max. 10 p. 116 S. (Demonax); Max. 10.29 (Demonax); Max. 10 785 B (Demonax); Ant. 1.53 945 B (Demonax); *Flor. Bar.* c. 30 ff. 90ᵛ–91ʳ (post Moschion.); *Corp. Par.* f. 105ʳ (= *Exc. Par.* Demonax 14)
= Demonax fr. 16 F.

235. Διογένης λοιδορούμενος ὑπό τινος φαλακροῦ εἶπεν 'σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν κρανίον ἐξέφυγον.'

[WBVLPC Al.] ὑβρίσω W | ἐπαινέσω in lin. et ἐπαινῶ in mg. W | κακοῦ κρανίου BVP Al.

Max. 10 pp. 116–117 S.; Max. 10.30; Max. 10 785 B; Ant. 1.53 948 B–C; 2.69 1165 C–D (post Democr.); *Flor. Bar.* c. 30 f. 91ᵛ; Aesopus *Fab.* 248 P.; *Corp. Par.* f. 111ᵛ; f. 148ʳ (post Biant): *Flor. Leid.* 202 (Eur.); *Flor. Mon.* 214 (Eur.); *App. Gnom.* 74 (Eur.); Kindstrand 12 (Eur.); *Gnom. Par.* 131; *APM* Schenkl 79 (anon.); Boissonade, 3 p. 468 (anon.)
= Diog. fr. V B 458 G.

236. Ὁ αὐτός τινος προδότου κακῶς αὐτὸν λέγοντος ἔφη 'χαίρω ἐχθρός σου γενόμενος, σὺ γὰρ οὐ τοὺς ἐχθροὺς ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.'

[WBVLPC Al.] αὐτοῦ BVP αὐτῷ Al.

Max. 10 p. 117 S.; Max. 10.31; Max. 10 785 B; Ant. 1.53 948 C; *Flor. Bar.* c. 30 f. 91^{r}; *Corp. Par.* f. 112^{r}; *Gnom. Vat.* 354 (post Theodect.); *App. Vat.* 2: 40 (Hdt. phil.); *Gnom. Par.* 132
= Diog. fr. V B 28 G.

237. Ὁ αὐτὸς ἔλεγεν ‘πολλοὶ γοῦν ⟨ἤδη⟩ μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν ἢ τῶν πολεμίων. καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας ἢ ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.’

[W] ⟨ἤδη⟩ supplevi

Max. 10 p. 118 S.; Max. 10.39 (Rheginus); Max. 10 785 D–788 A (Rheginus); Ant. 1.53 945 C (Rheginus); *Flor. Bar.* c. 30 f. 91^{r} (post Men.); Stob. 3.42.11 (Rheginus); *Corp. Par.* ff. 136^{v}–137^{r} (Rheginus)
cf. Rheginus *FHG* 2 p. 12 n.

238. Δίων ὁ Ῥωμαῖος εἶπεν ‘ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέουσα κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαίων γνώμας οὐκ ἐᾷ δι’ ὀργὴν συνορᾶν τὴν ἀλήθειαν.’

[W]

Max. 10 p. 119 S. (post Chrysipp.); Max. 10.49
= D.C. fr. 93 M. pp. 556–557; = Demad. fr. 26; fr. 87.3 De F.

239. Διονύσιος ὁ βασιλεὺς ἀκούσας δύο νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι παρὰ πότον ἀμφοτέρους ἐκάλεσε περὶ δεῖπνον. ὁρῶν δὲ παροινοῦντα τὸν μὲν καὶ ληροῦντα πολλά, τὸν δὲ κοσμίως μετ’ εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν ὡς φύσει παροινήσαντα, τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν καὶ πολέμιον ἐκ προαιρέσεως.

[W]

Max. 10 p. 119 S.; Max. 10.50; Ant. 1.53 948 A; Plu. *Mor.* 176 A (Dionysius 10)

240. Διογένης ‘ἐπὶ τῆς κολακείας’ ἔφη ‘ὥσπερ ἐπὶ μνήματος αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.’

[W Al.] κολακείας scripsi κολακίας cod. Al.

Max. 11 p. 123 S.; Max. 11.30; Max. 11 792 A; Ant. 1.52 941 B–C; *Flor. Bar.* c. 24 f. 80^{r}; Stob. 3.14.14; *Gnom. Hom.* 60
= Diog. fr. V B 422 G.

241. Ὁ αὐτὸς ἐρωτηθεὶς ‘τί τῶν θηρίων κάκιστα βλάπτει;’ ἔφη ‘τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.’

[WBVLPC Al.] ἀγρίων scripsi ἀγροίων codd. ἀγροίκων Al. | ἡμερῶν B

Max. 11 p. 123 S.; Max. 11.31; Max. 11 792 A–B; Ant. 1.52 941 C; *Flor. Bar.* c. 24 f. 80^{r-v}; D.L. 6.51; *Corp. Par.* f. 111^{v}
= Diog. fr. V B 423 G.

242. Δημοσθένης ἔφη τὸν κόλακα τούτῳ διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al. | τοῦτον a. corr. V τοῦτο P | διαφέρειν scripsi διαφέρει codd. Al.

Max. 11 p. 122 S. (post Plu.); p. 123 S. (bis: Demosth.; Antisth.); p. 124 S. (Epict.); Max. 11.16 (post Plu.); 11.32; 11.33 (Antisth.); 11.39 (Epict.); Max. 11 789 B (post Plu.); 789 D (Epict.); 792 B (bis: Demosth.; Antisth.); Ant. 1.52 941 A–B (post Plu.); 941 C (ter: Demosth.; Antisth.; Epict.); *Flor. Bar.* c. 24 f. 79^{v} (post Plu.); f. 80^{v} (ter: Demosth.; Antisth.; Epict.); Ath. 6.254 C (Diog.); D.L. 6.4 (Antisth.); Stob. 3.14.17 (Antisth.); *Corp. Par.* f. 114^{r}; ff. 114^{v}–115^{r} (Antisth.); *Gnom. Vat.* 206; *Flor. Leid.* 174; 253 (anon.); *Flor. Mon.* 185; 267 (anon.); *Gnom. Byz.* 179 (Bar. 162; Par. 56) (anon.); *Gnom. Hom.* 69a (post Phocion.); Boissonade, 3 p. 467 (anon.); Bertini Malgarini 41 (Antisth.)
= Demosth. fr. 63 B.-S.; = Antisth. fr. V A 131 G.; = Diog. fr. V B 425 G.

243. Δίων ὁ Χρυσόστομος εἶπε ‘πασῶν ὡς ἔπος εἰπεῖν τῶν κακιῶν αἰσχίστην ἄν τις εὕροι τὸ κολακεύειν. πρῶτον μὲν γὰρ τὸ κάλλιστον καὶ δικαιότατον διαφθείρει, φημὶ τὸν ἔπαινον, ὥστε μηκέτι δοκεῖν πιστὸν μηδ’ ἀληθῶς γενόμενον καί, τό γε πάντων δεινότατον, τὰ τῆς ἀρετῆς ἔπαθλα τῇ κακίᾳ δίδωσιν.’

[W] κακιῶν et αἰσχίστην scripsi κακῶν et αἴσχιστον cod.

Max. 11 pp. 125–126 S. (amplior); Max. 11.44 (amplior; anon.); Max. 11 792 A (amplior); Ant. 1.52 944 A (brevior); *Flor. Bar.* c. 24 f. 80^{v} (amplior)
= D. Chr. 3.17–18

244. Δημόκριτος εἶπε ‘διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία. μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις.’

[WBVLPC Al.] ἐπιθυμία] ἀθυμία in mg. add. V

Max. 12 p. 131 S.; Max. 12.55; Max. 12 p. 202 R.; Ant. 1.31 884 C; Stob. add. in ed. Frob. p. 205 = 8 p. 142 M.; *Corp. Par.* f. 94^{v} (= *Exc. Par.* Democritus 21); *Gnom. Byz.* 204 (Bar. 124) (anon.); *GB* Ath. 183
= Democr. fr. B 302.184 *FVS* 68

245. Ὁ αὐτὸς ἔλεγε ‘μηδέποτε μακαρίσῃς ἄνθρωπον ἐπὶ πλούτῳ καὶ δόξῃ. πάντα γὰρ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐλάττονι πίστει δέδεται.’

[W]

Max. 12 p. 131 S. (Democrat.); Max. 12.56; Max. 12 796 D (post Arist.); *Flor. Bar.* c. 10 f. 32r (post Plu.); *Corp. Par.* f. 138v
= Democr. fr. B 302.745 *FVS* 68

246. Ὁ αὐτὸς εἴρηκεν 'οὐχ ὁ πλουτῶν ἀλλ' ὁ μὴ χρῄζων πλούτου μακάριος.'

[WBVLPC Al.] εἴρηκεν] ἔλεγε(ν) BVP Al. | πλούτου om. BVP

Max. 12 p. 131 S. (post Democrat.); Max. 12.57; Max. 12 796 D (post Arist.); *Flor. Bar.* c. 10 f. 32r (post Plu.); Jo. Georg. G 804 O. (Sext.); *Corp. Par.* f. 138v; *Gnom. Byz.* 193 (Pal. 143; Bar. 111; Leid. 83; Mon. 87) (anon.); *GB* Ath. 176; *GB* Clark. 159; *GB* Vind. 140
= Democr. fr. B 302.746 *FVS* 68

247. Ὁ αὐτὸς ἔφη 'εἰ μὴ πολλῶν ἐπιθυμεῖς, τὰ ὀλίγα πολλὰ δοξάζεις. μικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.'

[WBVLPC Al.] τὰ] τὸ V | δοξάσεις BVP Al. | ἰσοσθενῆ e corr. V ἰσοσθενεῖ BP | πλούτῳ p. corr. V

Max. 12.59; Max. 12 797 A (post Arist.); Ant. 1.33 892 D–893 A; Stob. 4.33.24–25; *Corp. Par.* f. 138v
= Democr. fr. B 284; B 302.748 *FVS* 68

248. Ὁ αὐτὸς εἶπεν 'ὁ κατὰ φύσιν πλοῦτος ἄρτῳ καὶ ὕδατι καὶ τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ συμπεπλήρωται, ὁ δὲ περιττὸς κατὰ ψυχὴν ἀπέραντον ἔχει καὶ τῆς ἐπιθυμίας τὴν βάσανον.'

[W]

Max. 12 p. 131 S. (post Democrat.); Max. 12.60; Max. 12 797 A (post Arist.); Ant. 1.31 884 C; Jo. Georg. G 749 O. (anon.); *Gnom. Byz.* 189 (Pal. 139; Bar. 113; Leid. 81; Mon. 85) (anon.); *GB* Ath. 174; *GB* Cas. 64; *GB* Clark. 155; *GB* Vind. 138

249. Ὁ αὐτὸς ἐρωτηθεὶς πῶς ἄν τις γένηται πλούσιος ἔφη 'ἐὰν τῶν ἐπιθυμιῶν ἔσται πένης.'

[WBVLPC Al.]

Max. 12 p. 132 S. (post Democrat.); Max. 12.61; Max. 12 797 A (post Arist.); Clem. Al. *Paed.* 2.3.39.4 (anon.); Stob. 3.17.30 (Socr.); 4.31.124 (Cleanth.); *Corp. Par.* f. 95r (= *Exc. Par.* Socrates 25); f. 120v (Cleanth.); *Gnom. Vat.* 463 (post Pythag.); *Flor. Leid.* 229 (post Socr.); *Flor. Mon.* 242 (post Socr.); *App. Vat.* 2: 135 (post Pythag.); *Gnom. Par.* 285 (post Socr.); Bertini Malgarini 140 (anon.)
= Cleanth. fr. 617 *SVF* 1 p. 137

250. Ὁ αὐτὸς ἔφη 'ὁ τῷ κατὰ φύσιν ἀρκούμενος πλούτῳ τοῦ πολλὰ κεκτημένου, πλείονα δὲ ἐπιθυμοῦντος πολύ ἐστι πλουσιώτερος. τῷ μὲν γὰρ οὐδὲν ἐλλείπει, τῷ δὲ καὶ ὧν κέκτηται πολλῷ πλείονα.'

[W]

Max. 12 p. 132 S. (post Democrat.); Max. 12.63; Max. 12 797 A–B (post Arist.); Apostol. 13.13p (anon.); *Gnom. Byz.* 191 (Pal. 141; Bar. 115; Leid. 86; Mon. 90) (anon.); *GB* Ath. 175; *GB* Cas. 66; *GB* Clark. 157; *GB* Vind. 139

251. Ὁ αὐτὸς εἴρηκε 'τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφεύγασιν, ἐπιβουλήν, φθόνον καὶ μῖσος, οἷς οἱ πλούσιοι καθ' ἡμέραν συνοικοῦσιν.'

[WBVLPC Al.]

Max. 12 p. 132 S. (post Democrat.); Max. 12.65; Max. 12 797 B (post Arist.); Ant. 1.33 893 A; *Flor. Bar.* c. 10 f. 32r (post Plu.); Jo. Georg. G 973 O. (anon.); Apostol. 16.10e; *Gnom. Byz.* 200 (Pal. 151; Bar. 118) (anon.); *GB* Ath. 182; *GB* Cas. 71; *GB* Clark. 168; *GB* Vind. 124

252. Ἰωάννης ὁ Κλίμαξ ἔφη 'ἐν συγκρίσει κακῶν δεῖ ἡμᾶς τὸ κουφότερον ἐξελέξασθαι.'

[W Al.] ἐν συγκρίσει] ἐκ συγκρίας Al.

= Jo. Clim. *Scal.* 26 (= *PG*, 88 1028 B)

253. Διογένης ἐρωτηθεὶς 'τί γῆ βαρὺ βαστάζει;' ἔφη 'ἄνθρωπον ἀπαίδευτον.'

[WBVLPC Al.] Διογένης] ὁ αὐτὸς P Al.

Max. 17 p. 168 S.; Max. 17.48; Max. 17 824 D; Ant. 1.50 937 A (post Demad.); *Flor. Bar.* c. 38 f. 106r (Demonax.); *Exc. Flor.* 2.13.75; Stob. 2.31.75; *Corp. Par.* f. 111r
= Diog. fr. V B 377 G.

254. Ὁ αὐτὸς ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας ἤρετο 'τίνος ταῦτα;' τῶν δὲ εἰπόντων ''Αναξιμένους' ἔφη 'οὐκ αἰδεῖται ταῦτα ἔχων ἅπαντα αὐτὸς ἑαυτὸν μὴ ἔχων;'

[WBVLPC Al.] Ἀνεξιμένου[1 et 2] W

Max. 12.67; Max. 12 797 B–C; *Gnom. Par.* 141
= Diog. fr. V B 507 G.

255. Δίων καταγελάστους εἶναι ἔλεγεν τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.

[WBVLPC Al.] Δίων] fortasse Βίων | χρηστότης δὲ ἀφαιρεῖται om. BVP

Max. 12 pp. 134–135 S. (Bion); Max. 12.88 (Bion); Max. 12 800 C (Bion); *Flor. Bar.* c. 10 f. 32r (Bion); Stob. 4.31.87 (Bion); *Corp. Par.* f. 120r–v (Bion)
= Bion fr. 38 K.

256. Δημοσθένης θεασάμενός τινα ἐκφερόμενον φιλάργυρον ἔφη 'οὗτος βίον ἀβίωτον βιώσας ἑτέροις βίον κατέλιπεν.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al. | ἑτέρους P

Max. 12 p. 136 S.; Max. 12.101; Max. 12 801 B; *Flor. Bar.* c. 10 f. 32v; *Corp. Par.* ff. 113v–114r; *Gnom. Vat.* 213; *Wien. Apophth.* 158 (post Chilon.); *Flor. Leid.* 250 (Chilon); *Flor. Mon.* 264 (Chilon); *Gnom. Par.* 144; *APM* Schenkl 143 (Chilon); Boissonade, 3 p. 469 (post Diog.); Bertini Malgarini 93 (anon.)
= Diog. fr. V B 231 G.

257. Δημόκριτος ἔφη 'αὐταρκείῃ τροφῆς μικρὰ νὺξ οὐ γίνεται οὐδέποτε.'

[WBVLPC Al.]

Max. 13.16; Max. 13 805 A; Ant. 1.36 901 D; Stob. 3.5.25; *Corp. Par.* f. 93v (= *Exc. Par.* Democritus 2); *APM* Schenkl 6 (anon.); Boissonade, 1 p. 118
= Democr. fr. B 209; B 302.164 *FVS* 68

258. Ὁ αὐτὸς εἶπε 'τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.'

[W]

cf. *Gnom. Bas.* 190

259. Δίδυμος ὁ σοφὸς εἶπε 'τότε ἀνύει διδάσκαλος καὶ πιστεύεται λέγων, ὅταν ἀφ' ὧν πράττει παιδεύῃ κατὰ τὸ "ὧν ἤρξατο ὁ Ἰησοῦς παιδεύειν τε καὶ τ.λ. (*Act. Ap.* 1.1)".'

[W]

Max. 15 p. 150 S.; Max. 15.21; Max. 15 813 C; Ant. 1.48 929 A; Jo. Dam. 1548 D; *Corp. Par.* f. 78r

260. Δημόκριτος εἶπεν 'ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.'

[WBVLPC Al.] Δημόκριτος] ὁ αὐτὸς BVP Al.

Max. 15 p. 153 (post Charicl.); Max. 15.48; Max. 15 p. 208 R.; Ant. 1.48 929 B (post Thgn.); *Flor. Bar.* c. 26 f. 84v (post Pythag.); Jo. Georg. G 369 O. (anon.); Apostol. 7.16i (anon.); Phot. *Opusc. paraen.* 18 S. p. 3; *Corp. Par.* f. 94v (= *Exc. Par.* Democritus 18); *App. Gnom.* 123 (anon.); *Gnom. Byz.* 20 (Pal. 20; Bar. 19; Leid. 22; Mon. 19) (anon.); *GB* Cas. 15; *GB* Clark. 20; *GB* Vind. 18; *Gnom. Hom.* 119a
= Democr. fr. B 302.181 *FVS* 68

261. Ὁ αὐτὸς ἔφη 'ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς τῇ ψυχῇ περιτίθησι σχήματα.'

[WBVLPC Al.] ὁ αὐτὸς ἔφη] ὁ αὐτὸς BVP om. Al. | τῆς P | σχῆμα W

Max. 15 p. 154 (Demonax); Max. 15.51 (Demonax); Max. 15 813 D (Demonax); Stob. 2.4.14 (post Socr.); *Corp. Par.* f. 104v (= *Exc. Par.* Demonax 8); *Gnom. Hom.* 47a (post Diog.)
= Demonax fr. 22 F.

262. Ὁ αὐτὸς ἔλεγεν 'αἱ μὲν χελιδόνες εὐδείαν ἡμῖν προσημαίνουσιν, οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.'

[WBVLPC Al.] ὁ αὐτὸς ἔλεγεν om. Al. | αἱ] οἱ codd. | εὐδίαν p. corr. V

Max. 15 p. 154 S. (Democr.); Max. 15.52 (post Demonact.); Max. 15 p. 208 R. (post Demonact.); Ant. 1.48 929 C (post Clitarch.); Apostol. 1.60c (Demonax); *Corp. Par.* f. 105r (= *Exc. Par.* Demonax 10); *Gnom. Hom.* 128 (post Democr.)
= Demonax fr. 11 F.

263. Διογένης ἔφη τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

[WBVLPC Al.] τοὺς om. P | τὰ om. BVP Al. | μὲν post ῥήτορας transp. BVP

Max. 15 p. 154 S.; Max. 15.55; Max. 15 816 A; *Exc. Flor.* 1.2.2; D.L. 6.28 (amplior); *Corp. Par.* f. 111r
= Diog. fr. V B 504 G.

264. Ὁ αὐτὸς εἴρηκε 'νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστιν.'

[WBVLPC Al.] εἴρηκε] εἶπε BVP Al.

Max. 16 p. 159 S.; Max. 16.22; Max. 16 817 B; Ant. 1.49 932 A; *Flor. Bar.* c. 16 f. 57r; Jo. Georg. δ 20 O. p. 262 (anon.); *Corp. Par.* f. 93v (= *Exc. Par.* Democritus 6); *Gnom. Byz.* 134 (Pal. 105; Bar. 172; Leid. 62; Mon. 63) (anon.); *GB* Clark. 118; *GB* Vind. 92; *Gnom. Hom.* 199a (Democr.); *Exc. Vind.* 21 (anon.)
= Diog. fr. V B 383 G; = Democr. fr. B 302.168 *FVS* 68

265. Δημοσθένης πυνθανομένου τινὸς πῶς ἂν τις ἑαυτοῦ διδάσκαλος γένοιτο '⟨εἰ⟩ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις' ἔφη 'καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.'

[WBPC Al.] Δημοσθένης] ὁ αὐτὸς Al. | γένοιτο scripsi γένηται codd. Al. | ⟨εἰ⟩ supplevi | ἑαυτῷ] ἑαυτὸν BP | ἐπιτιμῴη scripsi ἐπιτιμῶν codd. Al.

Max. 16 p. 159 S.; Max. 16.23; Max. 16 817 B; *Flor. Bar.* c. 18 f. 57r (in mg.)

266. Δίδυμος ἔφη 'τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ σοφίας ἐστίν, ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε δικαιοσύνης.'

[WBVLPC Al.] ἔφη om. BVP Al. | εἶπε(ν) post ἐστίν add. BVP Al.

Max. 17.13; 56.14; Max. 17 821 C; 56 968 C; Ant. 1.50 933 D; *Flor. Bar.* c. 38 f. 106r; Jo. Dam. 360 D; *Corp. Par.* f. 78r; cf. *Gnom. Bas.* 329

267. Ὁ αὐτὸς εἶπεν 'τὸν γνωστικὸν οὐδὲ τὸ χρημάτων ἀπορεῖν εἰς ταπείνωσιν ἄγει, τῆς ἀρετῆς καὶ τῆς σοφίας αὐτὸν ὑπερυψούσης καὶ ὑπεράνω αὐτῶν ἵστασθαι παρασκευαζούσης.'

[W] οὐδὲ τὸ scripsi οὐδὲν τῶν cod. | ex αὐτῶν in αὐτὸν corr. cod.

Max. 17 pp. 163–164 S.; Max. 17.14; Max. 17 821 C; Ant. 1.50 933 D; Jo. Dam. 1297 B (amplior; post Clem. Al.) (cf. Holl 328 pp. 124–125); *Corp. Par.* f. 77v

268. Δημόκριτος τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς.

[WBVLPC Al.] τὴν s. lin. P | ῥίζειν VP

Max. 17 p. 168 S. (Demosth.); Max. 17.40 (Isoc.); Max. 17 824 B (Demosth.); Ant. 1.50 936 A (Arist.); *Flor. Bar.* c. 38 f. 106r (Demosth.); *Exc. Flor.* 2.13.29 (Demosth.); Jo. Georg. δ 19 O. p. 262 (anon.); D.L. 5.18 (Arist.); *Script. prog.* 43 H.-O'N. pp. 325–326 (Isoc.); Stob. 2.31.29 (Demosth.); *Gnom. Vat.* 59 (post Arist.); *Corp. Par.* f. 90v (Demosth.); *Gnom. Byz.* 54 (Bar. 39) (anon.); *GB* Clark. 51; *GB* Vind. 41; Bertini Malgarini 183 (anon.)
= Isoc. fr. III β' 4 B.-B.; = Demosth. fr. 28 B.-S.

269. Ὁ αὐτὸς ἔφη 'ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.'

[WBVLPC Al.] παιδία BP a. corr. V

Max. 17 p. 168 S.; Max. 17.41; Max. 17 824 C; Ant. 1.50 936 A; *Flor. Bar.* c. 38 f. 106r; *Exc. Flor.* 2.13.35 (Arist.); 2.13.58; Jo. Georg. G 455 O. (anon.); D.L. 5.19 (Arist.); Stob. 2.31.35 (Arist.); 2.31.58; *Corp. Par.* f. 94v (= *Exc. Par.* Democritus 17); *Gnom. Vat.* 50 (post Arist.); *App. Vat.* 2: 4 (post Arist.); *Gnom. Byz.* 51 (Pal. 45; Bar. 36; Leid. 33; Mon. 31) (anon.); *GB* Ath. 155; *GB* Clark. 48; *GB* Vind. 38
= Democr. fr. B 180; B 302.180 *FVS* 68

270. Ὁ αὐτὸς ἔλεγεν 'τὰς μὲν πόλεις ἀναθήμασιν, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν.'

[W]

Max. 17 p. 168 S.; Max. 17.42; Max. 17 824 C; Ant. 1.50 936 A; *Flor. Bar.* c. 38 f. 106r (brevior); *Exc. Flor.* 2.13.53; Iamb. *Protr.* 2 p. 10 P.; Stob. 2.31.53 (Demonax; Socr.); *Corp. Par.* f. 94v (= *Exc. Par.* Democritus 19); *Gnom. Byz.* 18 (Pal. 18; Bar. 21; Leid. 20; Mon. 17) (anon.); *GB* Ath. 235; *GB* Cas. 14; *GB* Clark. 18; *GB* Vind. 16; *Gnom. Hom.* 34
= Democr. fr. B 302.182 *FVS* 68; = Demonax fr. 7 F.

271. Δημώναξ ἔφη 'οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσιν.'

[WB Al.] Δημώναξ ἔφη] Δημώναξ (ὁ αὐτὸς Al.) ἔλεγεν B Al.

Max. 17 p. 168 S.; Max. 17.47; Max. 17 824 D; *Flor. Bar.* c. 38 f. 106r (post Isoc.; ante Demonact.); *Exc. Flor.* 2.13.137; *Corp. Par.* ff. 104v–105r (= *Exc. Par.* Demonax 9); *Gnom. Hom.* 61 (post Diog.)
= Demonax fr. 6 F.

272. Δημόκριτος ἔφη 'τῆς παιδείας ὥσπερ χρυσοῦ τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον.'

[WBVLPC Al.] Δημόκριτος] ὁ αὐτὸς BVP Al. | παιδίας P

Max. 17 p. 171 S. (DIE); Max. 17.61 (DIE); Max. 17 825 C (DIE); *Gnom. Byz.* 47 (Pal. 40; Par. 20; Bar. 32) (anon.); *GB* Cas. 37; *GB* Clark. 43; *Gnom. Hom.* 49 (post Diog.)

273. Δημάδης ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος εἴη 'τὸ τῶν Ἀθηναίων' ἔφη 'βῆμα', ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστί.

[W] κρείττων scripsi κρεῖττον cod.

Max. 17 p. 172 S. (brevior; Demonax); Max. 17.73; Max. 17 828 D (Demonax); Ant. 1.50 936 D (brevior); *Exc. Flor.* 2.13.157; Stob. 3.29.91; *Corp. Par.* f. 133r; *Gnom. Vat.* 230 (brevior; post Demosth.); Cramer (Ox.), 4 p. 253 (anon.)
= Demad. fr. 59 De F.; = Demonax fr. 28 F.

274. Δημώναξ ἔλεγεν 'οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.'

[W Al.] Δημώναξ] ὁ αὐτὸς Al.

Max. 18.40; Max. 18 833 A; Ant. 1.70 984 A; *Flor. Bar.* c. 31 f. 92r; Stob. 3.4.58 (post Socr.); *Corp. Par.* f. 104v (= *Exc. Par.* Demonax 7); *Gnom. Hom.* 12 (post Pythag.)
= Demonax fr. 25 F.

275. Ὁ αὐτός φησι ὅτι 'δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον.'

[W]

Max. 18 p. 178 S.; Max. 18.41; Max. 18 833 B; Ant. 1.70 984 A; *Flor. Bar.* c. 31 f. 92r; Apostol. 5.90f (Moschion); *Corp. Par.* f. 105r (= *Exc. Par.* Demonax 13); *Gnom. Hom.* 154b (post Democr.)
= Demonax fr. 15 F.

276. Δημήτριος ὁ Φαληρεὺς [εἶπε] τὸν μὴ δυνάμενον γενναίως φέρειν ἀτυχίαν μηδὲ εὐτυχίαν ἔφη δύνασθαι.

[WBVLPC Al.] Δημόκριτος B | [εἶπε] seclusi s. lin. B | γενεαίως B

Max. 18 p. 178 S.; Max. 18.45; Max. 18 833 C (Demosth.); Ant. 1.70 984 B; *Flor. Bar.* c. 31 f. 92r; *Corp. Par.* f. 115v; *Gnom. Vat.* 256; *Gnom. Byz.* 105 (Pal. 83; Bar. 106; Leid. 52; Mon. 52) (anon.); *GB* Clark. 93; *GB* Vind. 71
= Demetr. Phal. fr. 122 III *SA* 4

277. Δίων ὁ Ῥωμαῖος εἶπεν 'αἱ εὐπραγίαι ἐπειδὰν ἔξω τοῦ συμμέτρου τισὶ

γένωνται, συμφορῶν σφίσιν αἴτιαι καθίστανται. προάγουσι γὰρ αὐτοὺς εἰς τὸ ἔκφρον. οὐ γὰρ ἐθέλει τὸ σῶφρον τῷ χαύνῳ συνεῖναι.'

[W] αἴτιαι scripsi αἰτίαι cod. | ἔκφρον scripsi ἔκφορον cod. | τῷ scripsi τὸ cod.

Max. 18.68; *Flor. Bar.* c. 31 f. 92ᵛ
= D.C. 9 fr. 39.3 B. 1 p. 114

278. Διόδωρος εἶπε 'ταῖς εὐτυχίαις εἴωθεν ὥσπερ ἐπίπαν ἀκολουθεῖν ῥαθυμία καὶ καταφρόνησις. διόπερ ἔνιοι προσηκόντως ὑπολαμβάνουσιν εὐχερέστερον ὑπάρχειν συμφορὰς ἐνεγκεῖν ἐπιδεξίως ἢ τὰς εὐμεγέθεις εὐημερίας ἐμφρόνως. αἱ μὲν γὰρ διὰ τὸν περὶ τοῦ μέλλοντος φόβον συναναγκάζουσιν ἐπιμελεῖσθαι, αἱ δὲ διὰ τὸ προγεγονὸς εὐτύχημα προτρέπονται καταφρονεῖν πάντων.'

[W] ῥαθυμία e corr. cod. | τὸν περὶ … ἐπιμελεῖσθαι et τὸ προγεγονὸς … πάντων transposui | μέλλοντος scripsi μεσότητος cod.

Max. 18 p. 181 S.; Max. 18.73; Ant. 1.70 984 D (brevior); *Flor. Bar.* c. 31 f. 92ᵛ
= D.S. 19.95.6–7

279. Δημοσθένης εἶπε 'τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.'

[W]

cf. *Gnom. Bas.* 232

280. Δημῶναξ ἔφη 'κόλαζε κρίνων ἀλλὰ μὴ θυμούμενος.'

[W]

Max. 19 p. 189 S.; Max. 19.48; Max. 19 844 A; Ant. 2.53 1133 D (Democr.); *Flor. Bar.* c. 34 f. 98ʳ; Men. *Mon.* 429 J.; *Corp. Par.* f. 104ᵛ (= *Exc. Par.* Demonax 1); *Gnom. Byz.* 254 (Bar. 219) (anon.); Boissonade, 1 p. 118
= Demonax fr. 2 F.; = Demonax fr. 2 *TrGF* 1 207 p. 320

281. Διονύσιος εἶπε 'λέγε σιγῆς τι κρεῖττον ἢ σιγὴν ἔχε.'

[W]

Max. 20 p. 193 S.; Max. 20.13; Max. 20 845 A (post Greg. Naz.); Ant. 1.73 992 A (S. Dionys.); *Flor. Bar.* c. 25 f. 81ᵛ; Apostol. 8.48; Men. *Mon.* 292 J.; Mac. 4.44; Greg. Cypr. M 3.61; *App. Prov.* 3.7; *Corp. Par.* f. 133ᵛ
= Dionysius fr. 6 *TrGF* 1 76 p. 244

282. Δημόκριτος θεασάμενός τινα πολλὰ ἀπαίδευτα ὁμιλοῦντα εἶπε 'διαλέγεσθαι μοι δοκεῖ δυνατός, ἀλλὰ σιωπᾶν ἀδύνατος.'

[WBVLPC Al.] Δημόκριτος] ὁ αὐτὸς BVP Al. | ἀπαίδευτα scripsi ἀπαίδευτον codd. Al. | διαλέγειν W

Max. 20 p. 200 S.; Max. 20.50; Max. 20 848 D; *Flor. Bar.* c. 25 f. 82ᵛ; Gell. 1.15.15 (Epich.); *Gnom. Par.* 181
= Epich. fr. B 29 *FVS* 23

283. Δημοσθένης λέγοντος αὐτῷ τινος ὅτι 'τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτῷ δὲ σχολάζεις' εἶπε 'τούτου ἐπιμελοῦμαι δι' οὗ καὶ τὸν ἀγρὸν ἐκτησάμην.'

[W Al.] Δημοσθένης] ὁ αὐτὸς Al. | ἑαυτῷ scripsi ἑαυτοῦ cod. ἑαυτὸν Al.

Max. 21 p. 205 S.; Max. 21.24; Max. 21 852 D; Ant. 2.76 1192 B; *Corp. Par.* f. 114ʳ; *Gnom. Par.* 184

284. Δημῶναξ ἄλλων ἐξεταζόντων εἰ ὁ κόσμος [ἐμφρόνως] ἔμψυχος καὶ σφαιροειδὴς 'ὑμεῖς' εἶπε 'περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε.'

[W Al.] [ἐμφρόνως] seclusi ἐκφρόνως Al. | σαυτῶν Al. | φροντίζεται cod.

Max. 21 p. 206 S.; Max. 21.29; Max. 21 853 B; Ant. 2.76 1192 B–C; *Flor. Bar.* c. 54 f. 126ᵛ; Stob. 2.1.11; *Corp. Par.* f. 105ʳ⁻ᵛ (= *Exc. Par.* Demonax 17)
= Demonax fr. 4 F.

285. Δημόκριτος ⟨ἔφη⟩ 'πλοῦτος μὲν ἀπὸ κακῆς ἐργασίας ἐπιγενόμενος ἐπιφανέστερον ὄνειδος κέκτηται.'

[W] ⟨ἔφη⟩ e.g. supplevi

Max. 22 p. 212 S.; Max. 22.21; Max. 22 856 C; Ant. 1.31 885 A (post Chilon.); 1.35 900 C; *Flor. Bar.* c. 10 f. 31ᵛ; Stob. 3.10.36; 4.3b.50; *Corp. Par.* f. 95ʳ (= *Exc. Par.* Democritus 31)
= Democr. fr. B 218; B 302.194 *FVS* 68; = Demonax fr. 23 F.

286. Ὁ αὐτὸς 'χρήματα μὲν πορίζειν οὐκ ἀχρεῖον, ἐξ ἀδικίας δὲ πάντων μακρὸν κάκιον.'

[WBVLPC Al.] ὁ αὐτὸς] Δημόκριτος B | κάκιον e corr. in lin. et in mg. add. W

Max. 22 p. 212 S.; Max. 22.22; Max. 22 856 C; Ant. 1.29 877 D (post Thesp.); 1.35 900 C; *Flor. Bar.* c. 10 f. 31ᵛ; Stob. 4.31d.121; *Corp. Par.* ff. 95ᵛ–96ʳ (= *Exc. Par.* Democritus 39); *Gnom. Byz.* 197 (Pal. 148; Bar. 117) (anon.); *GB* Clark. 164
= Democr. fr. B 78; B 302.202 *FVS* 68; = Demonax fr. 24 F.

287. Διογένης ἐρωτηθεὶς ποῖα θηρία εἴη χαλεπώτερα εἶπεν 'ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.'

[WBVLPC Al.] ἄρκοι WVP Al.

Max. 22 p. 212 S.; Max. 22.24; Max. 22 856 D; Ant. 1.35 900 D; Stob. 3.2.33 (Theoc.); *Corp. Par.* f. 112ʳ; *Gnom. Vat.* 344 (post Theoc.); *App. Vat.* 2: 39 (post Theoc.)
= Diog. fr. V B 424 G.

288. Δίων ὁ Ῥωμαῖος εἶπε ‘πῶς γὰρ οὐχ ἡδὺ ⟨ἂν⟩ ελέσθαι τέκνον ἐξ ἀμφοῖν πεφυκὸς καὶ θρέψαι καὶ παιδεῦσαι εἰκόνα μὲν τοῦ σώματος, εἰκόνα δὲ καὶ τῆς ψυχῆς ὥστε ἐν ἐκείνῳ αὐξηθέντι ἕτερον αὐτὸν γενέσθαι. πῶς δ’ οὐ μακαριστὸν ἀπαλαττόμενον ⟨ἐκ⟩ τοῦ βίου διάδοχον καὶ κληρονόμον οἰκεῖον ἐξ αὐτοῦ γεγονότα καὶ τοῦ γένους καὶ τῆς οὐσίας καταλιπεῖν καὶ τῇ μὲν φύσει τῇ ἀνθρωπίνῃ διαλυθῆναι, τῇ δὲ ἐκείνου διαδοχῇ ζῆσαι.’

[W] ⟨ἂν⟩ et ⟨ἐκ⟩ supplevi

Max. 23 pp. 219–220 (post Plu.); Max. 23.19 (post Plu.)
= D.C. 56.3.4–5

289. Δίδυμος εἶπε ‘οὐ δυνατὸν τὸν ἀληθῶς φοβούμενον τὸν θεὸν δειλίαν ἔχειν, εἰρημένου τοῦ “πλὴν αὐτοῦ μὴ φοβοῦ ἄλλον (LXX *Pr.* 7.1a)”.’

[W]

Max. 24 p. 225 S.; Max. 24.17; Max. 24 864 A; *Flor. Bar.* c. 43 f. 114ᵛ; *Corp. Par.* f. 77ᵛ

290. Δημοκράτης εἶπε ‘μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι χρεὼν ἁμαρτημάτων.’

[W] Δημοκράτης] fortasse Δημόκριτος

Max. 24 p. 227 S. (Democritus); Max. 24.24; Max. 24 864 B–C (Democritus); *Flor. Bar.* c. 43 f. 114ᵛ (Democritus); Stob. 3.1.95 (Democritus); *Corp. Par.* f. 117ʳ; *APM* Schenkl 84 (anon.)
= Democr. fr. B 41; B 302.563 *FVS* 68

291. Δίδυμος ἔφη ‘ἐπίτασις κακίας τὸ μὴ μόνον αὐτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συνηγορεῖν ἀλλήλοις.’

[W] αὐτὸν scripsi αὐτὸ cod.

Max. 26 p. 243 S.; Max. 26.24; Max. 26 p. 223 R.; Ant. 1.16 824 D; *Flor. Bar.* c. 13 f. 47ʳ; Apostol. 7.60a; *Corp. Par.* f. 78ᵛ

292. Δημοσθένης εἶπεν ‘ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φρουρουμένη καὶ συναγορευομένη θεραπεύεται.’

[W] φρουρουμένη scripsi φρονουμένη cod.

Max. 26 p. 244 S.; Max. 26.31; Max. 26 872 A–B; *Flor. Bar.* c. 20 f. 69ᵛ; Moschion *Hyp.* 15a S. p. 490 = *Sent.* 20a E.; Stob. 3.13.55 (post Pythag.); *Corp. Par.* f. 108ʳ.
= Demosth. fr. 32 B.-S.

293. Δημόκριτος εἶπεν ‘ὑγιείαν εἰ ἔχειν παρὰ θεοῦ ἀπαιτοῦνται οἱ ἄνθρωποι, τὴν δὲ ταύτην δύναμιν παρ’ ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν. ἀκρασίῃ γὰρ τὰ ἐναντία πράσσοντες αὐτοὶ προδόται τῆς ὑγιείας γίνονται.’

[W] ὑγιείαν scripsi ὑγίαν cod.

Max. 27 p. 249 S.; Max. 27.20; Max. 27 876 A; Ant. 1.39 913 D; *Flor. Bar.* c. 18 f. 62ʳ⁻ᵛ; Stob. 3.18.30; *Corp. Par.* f. 93ᵛ (= *Exc. Par.* Democritus 3)
= Democr. fr. B 234; B 302.165 *FVS* 68

294. Ὁ αὐτὸς ἔφη ‘ὥσπερ ἄλειμμα οὐ τὸ ἡδὺ καλὸν οὐδὲ τὸ πικρὸν ἀλλὰ τὸ ὑγιαῖνον, οὕτω καὶ τροφὴ οὐχ ⟨ἡ⟩ ἡδεία καλὴ οὐδ’ ἡ πολλὴ ἀλλ’ ἡ ὑγιεινή.’

[WBVLPC Al.] ὑγιαίνων B ὑγιεινόν Al. | ⟨ἡ¹⟩ supplevi | ἡδύα BP | ἡ³ om. BVP Al.| ὑγιεινὴ scripsi ἠγιεινή codd. Al.

Max. 27 p. 249 S.; Max. 27.21; Max. 27 876 A; *Flor. Bar.* c. 18 f. 62ᵛ; *Corp. Par.* f. 95ᵛ (= *Exc. Par.* Democritus 34)
= Democr. fr. B 302.197 *FVS* 68

295. Ὁ αὐτὸς ἔλεγε ‘τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν. κυνῶδες γὰρ τοῦτο καὶ θηρίῳ μᾶλλον ἢ ἀνθρώπῳ πρέπον.’

[W]

Max. 27 p. 249 S.; Max. 27.22; Max. 27 876 B; Ant. 1.39 913 D; *Flor. Bar.* c. 18 f. 62ᵛ; *Corp. Par.* f. 95ᵛ (= *Exc. Par.* Democritus 33)
= Democr. fr. B 302.196 *FVS* 68

296. Διογένης ἔλεγεν ‘τῶν οἰκιῶν, ἔνθα πλείστη τροφή, πολλοὺς ⟨ἀνάγκη⟩ μῦς εἶναι καὶ γαλᾶς, καὶ σώματα δὲ ⟨τὰ⟩ πολλὴν τροφὴν δεχόμενα καὶ νόσους ἴσας ἐφέλκεσθαι.’

[W] ⟨ἀνάγκη⟩ et ⟨τὰ⟩ supplevi

Max. 27 p. 250 S.: Max. 27.27; Max. 27 876 C; *Flor. Bar.* c. 18 f. 62ᵛ; Stob. 3.6.37; *Corp. Par.* f. 125ᵛ
= Diog. fr. V B 195 G.

297. Ὁ αὐτὸς εἶπεν ὅτι ‘λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον ἐγγὺς προσελθὼν “ἡλίκος ἂν ἦν ὁ θόρυβος, εἰ ἐγὼ” εἶπεν “τοῦτο ἐποίουν”.’

[W] πρόβατον scripsi προβάτων cod.

Max. 27 p. 251 S.; Max. 27.29; Ant. 1.39 916 A; Plu. *Mor.* 156 A (Aesopus); Aesopus *Fab.* 453 P.
= Diog. fr. V B 471 G.

298. Ὁ αὐτὸς ἐν συμποσίῳ τινὶ πολλοῦ οἴνου αὐτῷ διδομένου τοῦτον ἐξέχεε. ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, ἔφη ‘ἐὰν γὰρ αὐτὸν ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται ἀλλὰ κἀμὲ προσαπόλλυσιν.’

[WBVLPC Al.] αὐτῷ] αὐτοῦ BP a. corr. V |ἐξέχεε scripsi ἐξέχειν W ἐξέχεινε BP a. corr. V ἐξέχει p. corr. V ἐξέχε Al. | αὐτὸν¹ om. BVP Al. | προσαπόλλυσιν scripsi πρὸς ἀπόλ(λ)υσιν codd. Al.

Max. 30 p. 261–262 S.; Max. 30.19; Max. 30 884 C; *Flor. Bar.* c. 35 f. 99^{v}; *Corp. Par.* ff. 98^{v}–99^{r} (= *Exc. Par.* Socrates 28); *Gnom. Vat.* 488 (Socr.); *Gnom. Par.* 196
= Diog. fr. V B 192 G.

299. Ὁ αὐτὸς μειράκιον ἐκστατικὸν ἰδὼν καὶ περιφρονοῦν ἔφη 'νεανίσκε, ὁ πατήρ μεθύων σὲ ἔσπειρε.'

[WBVLPC Al.]

Max. 30 p. 262 S.; Max. 30.20; Plu. *Mor.* 2 A; *Gnom. Par.* 197
= Diog. fr. V B 396 G.

300. Δημοσθένης 'οὐ γάρ ἐστι πικρῶς' ἔφη 'ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ἡμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα.'

[W]

Max. 31 p. 267 S.; Max. 31.13
= Demosth. 2.27

301. Δημόκριτος ἔλεγε 'κρεῖσσον τὰ οἰκεῖα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ἀλλότρια.'

[WBVLPC Al.] Δημόκριτος] ὁ αὐτὸς BVP Al.

Max. 31 p. 267 S. (post Isoc.); Max. 31.16; Ant. 2.78 1196 C (post Isoc.); Stob. 3.13.46; *Corp. Par.* f. 95^{r-v} (= *Exc. Par.* Democritus 32)
= Democr. fr. B 60; B 302.195 *FVS* 68

302. Ὁ αὐτός ποτε πρεσβεύων ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ παρρησίᾳ διαλεγόμενος, ὁ Φίλιππος 'οὐ φοβῇ μὴ τὴν κεφαλήν σου' ⟨ἔφη⟩ 'προστάξω ἀφαιρεθῆναι;' φησὶν 'οὔ. ἐὰν γὰρ σύ μοι ταύτην ἀφέλῃς, ἡ πατρίς μου αὐτὴν ἀθάνατον ἀναθήσει.'

[WBVLPC Al.] ὁ αὐτὸς] Δημοσθένης BVP | διαλεγομένου W | ⟨ἔφη⟩ supplevi | γὰρ s. lin. V

Max. 31 pp. 267–268 S.; Max. 31.17; Max. 31 888 B–C; *Corp. Par.* f. 117^{r} (Democrat.); *Gnom. Vat.* 251 (post Democrat. Parrh.); *Gnom. Par.* 203 (Democrat.)

303. Ὁ αὐτὸς ἔφη 'δεῖ τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνεται τοῖς ἀνθρώποις.'

[WBVLPC Al.] δεῖ e corr. V

Max. 32 pp. 270–271 S.; Max. 32.15; Ant. 2.45 1124 B; Plu. *Mor.* 1126 A (cf. *Mor.* 1100 C)
= Democr. fr. B 157 *FVS* 68

304. Δίων ὁ Χρυσόστομος 'αἱ μὲν ἡδοναὶ' ἔφη 'τοὺς ἀεὶ συνόντας τά τε ἄλλα

λυμαίνονται καὶ ταχὺ ποιοῦσιν ἀδυνάτους πρὸς αὐτάς, οἱ δὲ πόνοι τά τε ἄλλα ὠφελοῦντες ἀεὶ μᾶλλον παρέχουσι δυναμένους πονεῖν.'

[W] λυμαίνεται a. corr. cod.

Max. 32 p. 271 S. (post Isoc.); Max. 32.19
= D. Chr. 1.21

305. Δημοσθένης ἐρωτηθεὶς ὑπό τινος πῶς τῆς ῥητορικῆς περιεγένετο ἔφη 'πλέον ἔλαιον ἤπερ οἶνον συνδεδαπάνηκα.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς BVP Al. | διεγένετο BP a. corr. V παρεγένετο p. corr. V | οἶνον post πλέον add. et del. W | εἴπερ codd.

Max. 32 p. 272 S.; Max. 32.23; Max. 32 892 A; Ant. 2.45 1124 C; *Script. Prog.* 18 p. 311 H.-O'N.; Stob. 3.29.90 (ἐκ τῶν Ἀριστοτέλους Χρειῶν = Arist. fr. 780 G.); *Corp. Par.* f. 133^{r}; *Gnom. Vat.* 204; Bertini Malgarini 184 (anon.)

306. Δημόκριτος ἔφη 'γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους.'

[W]

Max. 32 p. 272 S. (DIE); Max. 32.24 (DIE); Max. 32 892 A (DIE); Ant. 2.45 1124 B (Socr.); *Flor. Bar.* c. 26 f. 84^{v} (post Pythag.); *Gnom. Byz.* 28 (Par. 17; Bar. 22) (anon.)
= Isoc. 1.9; = Lib. fr. 88 F. 11 p. 664

307. Ὁ αὐτὸς ἔφη 'οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν.'

[W]

Max. 32 p. 273 S.; Max. 32.30; Max. 32 892 A; Ant. 2.45 1124 C (post Xen.); Stob. 3.29.63
= Democr. fr. B 240 *FVS* 68

308. Δημοσθένης εἶπεν 'οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ καταρρεῖ.'

[W] βραχὺν scripsi βραχὺ cod. | καταρρεῖ scripsi καρτερεῖ cod.

Max. 35 p. 283 S.; Max. 35.15
= Demosth. 2.10

309. Δίων ὁ Ῥωμαῖος εἶπεν 'ἔχει τι πικρὸν ὁ τῆς ἀληθείας λόγος, ἐπειδάν τις ἀκράτῳ παρρησίᾳ χρώμενος μεγάλων ἀγαθῶν προσδοκίαν ἀφαιρῆται. τὰ δὲ προσηνῆ ⟨κἂν ᾖ⟩ ψευδῆ, πείθει τοὺς ἀκούοντας.'

[W] ἀφαιρῆται scripsi ἀφαιρεῖται cod. | ⟨κἂν ᾖ⟩ supplevi

Max. 35 p. 284 S.; Max. 35.21
= D.C. fr. 52 M. p. 544; = Demad. fr. 97 De F.

310. Ὁ αὐτὸς εἶπε 'τὸ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ ⟨δὲ⟩ ψεῦδος γλυκὺ καὶ προσηνές, ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὰ ὄμματα τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν, τὸ δὲ σκότος ἄλυπον καὶ φίλον οὐκ ἐῶν βλέπειν.'

[W] ⟨δὲ⟩ supplevi | γε scripsi γὰρ cod. | νοσοῦσι e corr. cod. | βλέπειν scripsi κλέπτειν cod.

Max. 35 p. 284 S.; Max. 35.22 (Diog.); Ant. 1.21 844 B (post Men.); *Flor. Bar.* c. 46 f. 117ᵛ (Diog.)
= Diog. fr. V B 330 C G. (addenda p. 778)

311. Διονύσιος ὁ Ἀρεοπαγίτης εἶπεν 'οὐ τὸ κολάζεσθαι ἐνταῦθα κακόν, ἀλλὰ τὸ ἄξιον τῆς ἀπὸ τοῦ ἐνταῦθα ⟨γενέσθαι⟩ κολάσεως.'

[W] ⟨γενέσθαι⟩ supplevi

Max. 45 p. 301 S.; Max. 45.14; Max. 45 932 B (post Ph.); *Corp. Par.* f. 77ʳ
= Dion. Ar. *DN* 4.22 (= *PG*, 3 724 B–C)

312. Δημῶναξ ἔλεγεν 'τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ.'

[W Al.] Δημῶναξ] ὁ αὐτὸς Al.

Max. 47 p. 309 S.; Max. 47.28; Max. 47 940 C; *Corp. Par.* f. 104ᵛ (= *Exc. Par.* Demonax 4)
= Demonax fr. 17 F.

313. Δημοσθένης ἐν συμποσίῳ τινὶ πρὸς τὸν πολλὰ λαλοῦντα ἔφη 'εἰ τοσαῦτα ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.'

[WBVLPC Al.] Δημοσθένης] ὁ αὐτὸς BVP Al.

Max. 47 p. 310 S.; Max. 47.29; Max. 47 940 C–D; *Flor. Bar.* c. 23 f. 78ʳ; *Corp. Par.* f. 108ʳ; f. 156ʳ (anon.); *Flor. Leid.* 206 (anon.); *Flor. Mon.* 218 (anon.); *APM* Schenkl 87 (anon.); Bertini Malgarini 149 (anon.)

314. Ὁ αὐτὸς ἐρωτηθεὶς 'διὰ τί μίαν γλῶτταν ἔχομεν, ὦτα δὲ δύο;' εἶπεν 'ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.'

[WBVLPC Al.]

cf. *Gnom. Bas.* 71 (D. Chr. (?))

315. Δημόκριτος εἶπε 'πλεονεξία τὸ πάντα λέγειν καὶ μηδὲν ἐθέλειν ἀκούειν.'

[W] πάντα scripsi πάντων cod.

Max. 47 p. 310 S.; Max. 47.33; Max. 47 941 A–B; Ant. 2.70 1169 A (Socr.); *Flor. Bar.* c. 23 f. 78ᵛ; Stob. 3.36.24; *Corp. Par.* f. 134ᵛ
= Democr. fr. B 86; fr. B 302.691 *FVS* 68

316. Δίδυμος ἔλεγεν 'πάντων λογικῶν ἐπιστάμενος τὸ κρυπτὸν ὁ δημιουργὸς προνοεῖται τῶν ὅλων, οὐ μόνον ἐξ ὧν διάκεινται ⟨καὶ⟩ πράττουσιν, ἀλλὰ καὶ ἐξ ὧν προγινώσκει ἄγων τὴν βελτίωσιν.'

[W] ⟨καὶ⟩ supplevi

Max. 48 p. 313 S.; Max. 48.11; Max. 48 944 A–B; Jo. Dam. 236 B (cf. Holl 501 p. 233); *Corp. Par.* f. 78ʳ

317. Δημάδης εἴρηκεν 'ὅσον τοῖς δικαίοις τὸ θεῖον ⟨συν⟩αγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.'

[W] δικαίοις et θεῖον scripsi θείοις et δίκαιον cod. | ⟨συν⟩ supplevi

Max. 48 p. 314 S. (post Socr.); Max. 48.18; Max. 48 p. 244 R.; Ant. 1.45 924 C
= Demad. fr. 39 De F.

318. Δίων ὁ Ῥωμαῖος εἶπεν 'ἔοικεν τὸ πλεῖστον τοῦ ἀνθρωπίνου πρὸς μὲν τὸ [ἀνθρώπινον τὸ καὶ] ἀνθιστάμενον καὶ παρὰ τὸ συμφέρον φιλονεικεῖν, τοῖς δ' ὑπείκουσι καὶ παρὰ δύναμιν ἀνθυπουργεῖν.'

[W] ἀνθρωπίνου iter. et del. cod. | [ἀνθρώπινον τὸ καὶ] seclusi

Max. 49 p. 316 S. (post Isoc.); Max. 49.14
= D.C. 5 fr. 20.4 B. 1 p. 58

319. Δίδυμος 'τέλειον ἰατρὸν εἶναι λέγομεν' ἔλεγεν 'οὐ τὸν θεραπεύοντα πάντως ἀλλὰ τὸν μηδὲν ⟨τῶν⟩ εἰς ὠφέλειαν ἀνηκόντων καὶ θεραπείαν παραλείποντα.'

[W] τὸν² scripsi τῶν cod. | ⟨τῶν⟩ supplevi

Max. 50 p. 319 S.; Max. 50.13; Max. 50 948 D; Ant. 1.56 952 D–953 A; *Flor. Bar.* c. 52 ff. 124ᵛ–125ʳ; Jo. Dam. 61 B; 537 C–D (amplior); *Corp. Par.* f. 78ʳ⁻ᵛ

320. Δημόκριτος ἔφη 'ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι. ψυχὴ μὲν γὰρ τελεωτάτη σκήνεος μοχθηρίαν ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.'

[W] μοχθηρίαν scripsi μοχθηρία cod.

Max. 53 p. 327 S.; Max. 53.19; Max. 53 957 A; Ant. 1.55 952 B (brevior); *Flor. Bar.* c. 26 f. 84ᵛ; Stob. 3.1.27; *Gnom. Byz.* 25 (Pal. 25; Par. 13; Bar. 15; Leid. 26; Mon. 23) (brevior; anon.); *GB* Ath. 240; *GB* Cas. 23; *GB* Clark. 25; *GB* Vind. 22
= Democr. fr. B 187 *FVS* 68

321. a. Δίων ὁ Ῥωμαῖος ἔφη ‘πολλῷ γάρ που κρεῖττόν ἐστι κατορθώσαντά τι ζηλοτυπηθῆναι ἢ πταίσαντα ἐλεηθῆναι.’ b. ‘μηδέποτε μήτ’ ἐπὶ δυστυχίᾳ ἀκουσίῳ χαλεπήνῃς τινί, μήτ’ ἐπ’ εὐτυχίᾳ φθονήσῃς, ἵνα καὶ προθύμως καὶ ἡδέως πάντες ὑπὲρ σοῦ κινδυνεύσωσι πιστεύοντες ὅτι οὔτε πταίσαντές τι κολασθήσονται οὔτε κατορθώσαντες ἐπιβουλευθήσονται. πολλοὶ γὰρ ⟨τὸν⟩ παρὰ τῶν τὸ κράτος ἐχόντων φθόνον φοβούμενοι σφαλῆναί τι μᾶλλον ἢ καὶ καταπρᾶξαι προείλοντο. καὶ τούτῳ τὸ μὲν ἀσφαλὲς αὐτοὶ ἔσχον, τὸ δὲ ζημίωμα ἐκείνοις προσετρίψαντο. μὴ γοῦν θελήσῃς λόγῳ μὲν ἄλλοις, ἔργῳ δὲ φθονῆσαι σαυτῷ.’

[W] πταίσαντα e corr. cod. | ⟨τὸν⟩ supplevi

a. Max. 50 p. 333 S.; Max. 54.30
= D.C. fr. 110.6 B. 1 p. 358
b. Max. 50 pp. 333–334 S.; Max. 54.31
= D.C. 52.33.8–9

322. Ὁ αὐτὸς ἔφη ‘ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα μὴ βλάπτουσα τὸν ζηλούμενον.’

[W Al.]

cf. *Gnom. Bas.* 47b (post Anacharsin)

323. Ὁ αὐτὸς ἔφη ‘οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ’ ἰδίαν ἐξουσίαν, εἰ μὴ ἕτερος ἕτερον λυμαίνεται. φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.’

[W Al.] λυμαίνεται] fortasse ἐλυμαίνετο

cf. *Gnom. Bas.* 47c (post Anacharsin)

324. Ὁ αὐτὸς φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

[W Al.]

cf. *Gnom. Bas.* 47a (Anacharsis)

325. Ὁ αὐτὸς ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα εἶπεν ‘ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἄλλῳ μέγα ἀγαθόν.’

[W Al.]

Max. 54 p. 335 S. (Bion); Max. 54.41 (Bion); Max. 54 961 B (Bion); Ant. 1.62 969 B (Bion); *Flor. Bar.* c. 36 f. 102^{v} (Bion); Jo. Georg. G 297 O. (Diagoras); D.L. 4.51 (Bion); Stob. 3.38.50 (Bion); *Corp. Par.* f. 120^{r} (Bion); *Gnom. Vat.* 158 (post Bion.); 266 (Democr.); *Flor. Leid.* 178 (Democr.); *Flor. Mon.* 189 (Democr.); *App. Gnom.* 48 (post Democr.); *Gnom. Par.* 242 (Dio); *Gnom. Bar.* 191 (Diagoras); Boissonade, 3 p. 468 (anon.); 3 p. 470 (bis; anon.)
= Bion frr. 47–48 K.; = Diagoras T 83 W.

326. Διονύσιος εἶπεν ‘οὐκ ἠναγκασμένην ζωὴν ἔχομεν οἱ ἄνθρωποι, οὐδὲ διὰ τὴν τῶν προνοουμένων αὐτεξουσιότητα τὰ θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως ἀπαμβλύνεται.’

[W] οὐδὲ scripsi οὔτε cod.

Max. 55 pp. 338–339 S.; Max. 55.15; Max. 55 965 A; *Corp. Par.* f. 77^{r-v}
= Dion. Ar. *CH* 9.3 (= *PG*, 3 260 C)

327. Δίδυμος ‘τὰ μὲν ἀκούσια ἁμαρτήματα καὶ νόμος συγχωρεῖ’ ἔφη ‘καὶ θεὸς παρορᾷ φιλάνθρωπος ὢν καὶ οὐκ ἀπηνὴς [καὶ τῶν ἑκουσίων].’

[W] συγχωρεῖ scripsi συγχωρεῖν cod. | [καὶ τῶν ἑκουσίων] seclusi

Max. 55 p. 339 S.; Max. 55.16; Max. 55 965 A; Jo. Dam. 1560 B; *Corp. Par.* f. 78^{r}

328. Δίων ὁ Ῥωμαῖος ‘ἀνθρώπινόν ἐστι τὸ ἁμαρτάνειν’ ἔφη ‘τὸ δ’ ἀμύνασθαι τοὺς ἀδικήσαντας οὐκ ἀνθρώπινον, ὅτι πολλὰ ἄκοντες πολλοὶ πλημμελοῦσιν. οὐκοῦν οὐδὲ θαυμαστόν, εἰ καὶ ἄκοντες κολασθήσονται, ὅτι πολλὰ πολλοὺς ⟨ἀδικεῖν⟩ ἀναπείθουσιν, ἵν’ ἐξ ἑνός γε τοῦ τρόπου πάντες οἱ λοιποὶ τὰ προσήκοντα ποιεῖν ἐθέλωσι.’

[W] πλημμελοῦσιν scripsi πλημελῶσιν cod. | πολλὰ^{2} scripsi πολλαὶ cod.| ⟨ἀδικεῖν⟩ supplevi | ἐθέλωσι scripsi ἐθέλουσι cod.

Max. 55.20
= D.C. fr. 103 M. p. 558

329. Δίδυμος ‘τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ σοφίας ἐστίν,’ εἶπεν ‘ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε δικαιοσύνης.’

[W]

cf. *Gnom. Bas.* 266

330. Δημοσθένης εἶπεν ‘ἀλλ’ οἶμαι καὶ τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον. καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται. διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραγίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι.’

[W] μεγάλων iter. et del. cod. | γίνονται scripsi γίνωνται cod. | δεῖ scripsi δὴ cod.

Max. 56.17; Max. 56 969 A; Ant. 1.59 960 C; Stob.3.21.19; *Corp. Par.* f. 131^{r}
= Demosth. 20.162

331. Διονύσιος ὁ Ἀρεοπαγίτης εἶπεν ‘τὸ κατὰ πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον οὐδαμῇ οὔτε ἦν οὔτε ⟨ἐστὶν οὔτε⟩ ἔσται οὔτε εἶναι δύναται.’

[W] ⟨ἐστὶν οὔτε⟩ supplevi

Max. 57 p. 346 S.; Max. 57.14; Max. 57 972 C; *Corp. Par.* f. 77^{r}
= Dion. Ar. *DN* 4.20 (= *PG*, 3 720 B)

332. Δίων ὁ Ῥωμαῖος εἶπεν 'αἱ μὲν βίαιοι πράξεις ἀεὶ πάντας, κἂν δικαιότατοι ὦσι, παροξύνουσιν, αἱ δὲ ἐπιεικεῖς ἡμεροῦσι. πολλὰ μὲν καὶ τῶν ἰσχυροτάτων καὶ ἀγριωτάτων θωπείαις τισὶ τιθασεύεται καὶ δελεάσμασι χειροῦται, πολλὰ δὲ καὶ τῶν δειλοτάτων καὶ ἀσθενεστάτων λυπήμασί τε καὶ φόβοις καὶ ἐκταράττεται καὶ παροξύνεται.'

[W]

Max. 57 pp. 346–347 S.; Max. 57.16 (amplior)
= D.C. 55.17.3–4

333. Δημοσθένης εἴρηκε 'πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι λυσιτελέστερόν ἐστιν.'

[W]

Max. 57 p. 347 S.; Max. 57.20; Max. 57 973 B (Perithus); Stob. 3.37.21; *Corp. Par.* f. 134ᵛ
= Demosth. 36.52

334. Ὁ αὐτὸς εἶπεν 'οὐ τοσοῦτον ὁ λόγος ὅσον χρηστὸς τρόπος πείθειν δυνάμενος.'

[WBVLPC Al.] πείθειν om. Al.

Max. 57 p. 347 S.; Max. 57.21; Max. 57 973 A; Ant. 2.83 1201 A (post Greg. Nyss.); Stob. 3.37.33 (amplior); cf. Plu. *Phoc.* 5.9–10; *Dem.* 10.4–5; *Mor.* 803 E
= Demosth. fr. 61 B.-S.

335. Δημόκριτος ἔφη 'οἷσιν ὁ τρόπος εὔτακτος, τουτέοισι καὶ ὁ βίος συντέτακται.'

[W Al.] Δημόκριτος ἔφη] ὁ αὐτὸς Al.

Max. 57 p. 347 S.; Max. 57.22; Max. 57 973 A (Posidippus); Ant. 2.83 1201 A–B (Posidippus); Stob. 3.37.25
= Democr. fr. B 61 *FVS* 68

336. Δίων ὁ Ῥωμαῖος ἔφη 'δεῖ τοὺς κειμένους νόμους ἰσχυρῶς φυλάττειν καὶ μηδένα αὐτῶν μεταβάλλειν. τὰ γὰρ ἐν ταὐτῷ μένοντα, κἂν χείρω ᾖ, συμφορώτερα τῶν ἀεὶ καινοτομουμένων, κἂν βελτίω εἶναι δοκῇ, ἐστίν.'

[W] συμφορώτερα scripsi συμφερώτερα cod. |δοκῇ scripsi δοκεῖ cod.

Max. 58 p. 350 S.; Max. 58.12
= D.C. 53.10.1

337. Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους. ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλιν μὴ ὄντων νόμων καταλύεσθαι.

[WBVLPC Al.] Δημοσθένης ὁ ῥήτωρ] ὁ αὐτός BVP | τὸ om. W

Max. 58 p. 350 S.; Max. 58.15; Max. 58 977 B; *Flor. Bar.* c. 5 f. 17ᵛ; Apostol. 18.66q; S.E. *M.* 2.31 (anon); Stob. 4.1.144 (ἐκ τῶν Ἀριστοτέλους χρειῶν = Arist. fr. 781 G.); *Corp. Par.* f. 89ᵛ; *Gnom. Vat.* 229; 427 (Pl.); *App. Vat.* 2: 121 (Pl.)
= Demosth. fr. 23 B.-S.; = Pl. Sent. 17 S.

338. Δημάδης ἔφη 'τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις νόμος ἀνάγκη.'

[WBVLPC Al.]

Max. 58 p. 352 S.; Max. 58.22; Max. 58 977 A; Ant. 1.67 977 A; *Mantiss. Prov.* 3.5; *Gnom. Byz.* 124 (Pal. 97; Par. 61; Bar. 169) (anon.); *GB* Ath. 62; *GB* Clark. 109; *GB* Vind. 84
= Demad. fr. 35 De F. (amplior)

339. Δίων ὁ Ῥωμαῖος εἶπεν 'οὐκ ἔστιν οὐδὲν ζῷον θνητὸν οὐδ' ἄμεινον οὐδ' ἰσχυρότερον ἀνθρώπου. ἢ οὐχ ὁρᾶτε ὅτι τὰ μὲν ἄλλα πάντα κάτω κέκυφε καὶ εἰς τὴν γῆν βλέπει, πράττει τε οὐδὲν ὃ μὴ τροφῆς καὶ ἀφροδισίων ἔχεται; οὕτω καὶ ὑπ' αὐτοῦ τῆς φύσεως εἰς ταῦτα κέκριται. μόνοι δὲ ⟨ἡμεῖς⟩ ἄνω ὁρῶμεν καὶ τῷ οὐρανῷ αὐτῷ ὁμιλοῦμεν. καὶ τὰ μὲν ἐπὶ τῆς γῆς ὑπερφρονοῦμεν. τοῖς δὲ δὴ θεοῖς αὐτοῖς ὡς καὶ ὁμοίοις οὖσιν ἡμῖν σύνεσμεν, ἅτε καὶ φυτὰ καὶ ποιήματα αὐτῶν οὐ γήινα ἀλλ' οὐράνια ὄντες, ὑφ' οὗ καὶ αὐτοὺς ἐκείνους πρὸς τὰ ἡμέτερα εἴδη καὶ γράφομεν καὶ πλάττομεν.'

[W] ⟨ἡμεῖς⟩ supplevi | εἴδη scripsi ἤδη cod.

Max. 59 pp. 355–356 S.; Max. 59.20 (amplior)
= D.C. 7.30.2–4

340. Δημόκριτος εἶπε 'παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν ἐπιβλέποντι πανταχοῦ πρὸς τὸ μὴ βλάπτεσθαι, ἄνδρας δὲ γενομένους ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. ταύτης οὖν τῆς φυλακῆς μηδαμοῦ καταφρονητέον, ἐπεὶ καὶ τῷ θεῷ ἀπάρεστοι καὶ τῷ ἰδίῳ συνειδότι ὑπεύθυνοι καθιστάμεθα.'

[WBVLPC Al.] ἐπιβλέποντα codd. | πανταχῇ (?) Al. | μηδαμοῦ W | ἀπάρεστι W παρέστοι BVP

Max. 59 p. 356 S.; Max. 59.21; Ant. 2.82 1199 B et 1200 B (Epict.); *Gnom. Byz.* 30 (Pal. 27; Bar. 25 [brevior]) (anon.); *GB* Ath. 194; *GB* Cas. 25; *GB* Clark. 28; *GB* Vind. 24

341. Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστιν.

[W]

Max. 60 p. 360 S.; Max. 60.23; Max. 60 984 C; Stob. 3.4.67
= Demad. fr. 57 De F.

342. Δίων ὁ Ῥωμαῖος εἶπεν ‘μήποτε μάτην τὰ χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ ὧν οὐδεμία προσγίνεται εὐκλεία. πλοῦτος γὰρ ἀκριβὴς οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται.’

[W]

Max. 61 p. 363 S.; Max. 61.10; Max. 61 985 C; Ant. 1.40 916 C
= D.C. 52.35.4

343. Διογένης προσελθὼν τινι μειρακίῳ καταβεβρωκότι τὰ πατρῷα ᾔτει αὐτὸν δέκα δραχμάς, τοῦ δὲ τὴν αἰτίαν ἐρομένου, δι’ ἣν παρὰ μὲν τοῖς ἄλλοις ὀβολὸν λαμβάνει, παρὰ δὲ αὐτοῦ δραχμὰς δέκα αἰτεῖ, εἶπεν ‘ὅτι παρὰ μὲν τῶν ἄλλων ἐλπίζω λήψεσθαι πολλάκις, παρὰ δὲ σοῦ οὐκέτι.’

[WBVLPC Al.] προσελθὼν scripsi προσελθόντος codd. Al. | τοῦ δὲ ... αἰτεῖ] τίνι αἰτίᾳ BVP δέκα τίαν Al. | παρὰ^{2} scripsi περὶ W | πολλάκις] πολλά V

Max. 61 pp. 363–364 S.; Max. 61.14; Max. 61 988 A–B; D.L. 6.67; Stob. 3.15.9 (brevior); *Corp. Par.* f. 149^{r} (anon.); *Gnom. Par.* 247
= Diog. fr. V B 253 G.

344. Δημοσθένης εἶπε ‘θαυμάζω γὰρ εἴ τῳ ποτε ἀνθρώπων ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι ⟨πρὸς⟩ ἃ καὶ δεῖ.’

[W] ⟨πρὸς⟩ supplevi

Max. 61 p. 364 S.; Max. 61.15
= Demosth. 3.19

345. Δίων ὁ Χρυσόστομος εἶπε ‘πονηρίαν μὲν ἀρχομένην κωλῦσαι τάχ’ ἄν τις κολάζων δυνηθείη. ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγενημένην τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν.’

[W] τάχ’ ἄν scripsi τάχα cod. | περιγεγενημένην Mai

Max. 62 p. 366 S.; Max. 62.15; *Flor. Bar.* c. 19 f. 63^{v}
= D. Chr. fr. 12 De B.; = Din. 2.3; = D.C. fr. 119 M. p. 562

346. Δημοσθένης ‘οὔτε σῖτον’ εἶπεν ‘τὸν ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.’

[W]

Max. 63 p. 370 S.; Max. 63.11; Max. 63 993 C–D; *Flor. Bar.* c. 50 f. 123^{v}; Stob. 4.29a23 (Socr.); *Corp. Par.* f. 108^{r}; *Gnom. Hom.* 99 (post Phocion.)
= Demosth. fr. 33 B.-S.

347. Ὁ αὐτὸς εἶπε ‘τοῖς εὐγενέσι καὶ καλοῖς μάλιστα κατεπείγει κάλλος μὲν ἐπὶ τῆς ὄψεως, σωφροσύνην δὲ ἐπὶ τῆς ψυχῆς, ἀνδρείαν δὲ ἐπ’ ἀμφοτέρων τούτων, χάριν δὲ ἐπὶ τῶν λόγων διατελεῖν ἔχουσι.’

[W] κατεπείγει scripsi κατεπείγοι cod. | δὲ^{3} scripsi τε cod.

Max. 63 p. 370 S.; Max. 63 993 D; *Flor. Bar.* c. 50 f. 123^{v}; Stob. 4.29d.56
= Demosth. 61.8

348. Διογένης πυνθανομένου τινὸς ‘τίνες τῶν ἀνθρώπων εὐγενέστατοι;’ ἔφη ‘οἱ καταφρονοῦντες δόξης, πλούτου, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.’

[W]

Max. 63 p. 370 S.; Max. 63.12; Max. 63 993 D; *Flor. Bar.* c. 50 f. 123^{v}; Epict. 1.24.6–7; Stob. 4.29a19; 4.29d.57
= Diog. fr. V B 302 G.

349. Δημόκριτος εἶπε ‘ταῖς τῶν καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.’

[W]

Max. 67 p. 387 S.; Max. 67.19; Max. 67 1008 C; Ant. 1.71 985 D; *Flor. Bar.* c. 12 f. 43^{r}; *Corp. Par.* f. 93^{v} (= *Exc. Par.* Democritus 4)
= Democr. fr. B 302.166 *FVS* 68

350. Διογένης ἔφη
αἰσθητῶν καὶ ταλαιπόρων ἀνδρῶν γένος,
ὡς οὐδέν ἐσμεν πλὴν σκιᾷ ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρεφόμενοι.

[W] αἰσθητῶν] ὦ θνητὸν Gesner | ἀναστρεφόμενοι] ἀναστρωφώμενοι Gesner

Max. 67 p. 387 S.; Max. 67.20; Max. 67 1008 D; *Flor. Bar.* c. 12 f. 43^{r}; Apostol. 18.58 (brevior; anon.); Stob. 4.34.1 (Soph.); *Corp. Par.* f. 112^{r}
= Diog. fr. V B 309 G.; = Soph. fr. 945 *TrGF* 4 pp. 591–592

351. Δίων ὁ Ῥωμαῖος εἶπεν ‘οὔτε πάντας χρὴ κολάζειν εὐκόλως οὔτε περιορᾶν φανερῶς τινας ἀσελγαίνοντας, ἀλλὰ πλὴν τῶν πάνυ ἀνηκέστων πρᾴως μεταχειρίζεσθαι τὰ ἡμαρτημένα, τὰ δ’ ὀρθῶς ὑπ’ αὐτῶν γινόμενα καὶ ὑπὲρ τὴν ἀξίαν τῶν ἔργων τιμᾶν. οὕτω γὰρ ἂν μάλιστα ποιήσειας αὐτοὺς τῶν τε χειρόνων ἀπέχεσθαι, τῇ φιλανθρωπίᾳ, καὶ τῶν βελτιόνων ἐφίεσθαι, τῇ μεγαλοδωρίᾳ.’

[W] αὐτοὺς scripsi αὐτὰς cod. | μεγαλοδωρίᾳ scripsi μεγαλοδωρεᾷ cod.

Max. 68 p. 390 S.; Max. 68.11
= D.C. 52.34.8–9

352. Δημόκριτος ἔφη 'δύο ἀφορμαὶ κινοῦσιν ἄνθρωπον εἰς θεοῦ ἐπιμέλειαν, τιμωρία δυσσεβείας καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί.'

[W]

Max. 68 p. 391 S.; Max. 68.17; Max. 68 1009 D (Sext.); Ant. 1.68 977 D (Sext.); Jo. Georg. M 96 O. (Chor.); Apostol. 6.37b (Lib.)
= Chor. 38 (= *Decl.* 10) *Patrocl.* 22 F.-R. p. 449

353. Διογένης ἡμέρας οὔσης ποτὲ λύχνον ἅψας περιῄει τὴν ἀγοράν. πυνθανομένων δέ τινων πρὸς τί τοῦτο ποιεῖ ἔλεγεν ἄνθρωπον ζητεῖν.

[WBVLPC Al.] Διογένης] ὁ αὐτὸς BVP Al. | περιῄει p. corr. V περιείη codd. Al.

Max. 69 p. 394 S.; Max. 69.17; Max. 70 1016 C; Ph. *De gig.* 8.33 (anon.); D.L. 6.41; *Script. Prog.* 35 p. 321 H.-O'N.; Tert. *Adv. Marc.* 1.1; *Corp. Par.* f. 111r; Bertini Malgarini 62; 168 (anon.)
= Diog. fr. V B 272 G.

354. Ὁ αὐτὸς τῶν ἀνθρώπων ἔφη ἐνίους τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

[WBVLPC Al.] τῶν om. BVP | ἑαυτῶν p. corr. V ἑαυτοῦ codd. Al. | αἰσθάνεσθαι p. corr. V αἰσθάνεται WB Al. αἰσθάνονται P a. corr. V

Max. 70 p. 397 S.; Max. 70.19; Max. 69 1013 A; Ant. 2.75 1188 B; *Flor. Bar.* c. 51 f. 124r–v (in mg.); D.L. 6.64; 7.173 (Cleanth.); Stob. 3.23.10
= Diog. fr. V B 320 G.; = Cleanth. fr. 606 *SVF* 1 p. 135

355. Ὁ αὐτὸς ὀδυρομένου τινὸς ὅτι ἐπὶ ξένης ἔμελλε τελευτᾶν ἔφη 'τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ αὐτὴ ὁδὸς εἰς Ἅιδην.'

[WBVLPC Al.] τί ὀδύρῃ, ὦ μάταιε om. P | ὀδύνῃ Al.

Max. 36 p. 408 S.; Max. 36.22; Max. 36 904 A–B; Ant. 1.58 957 C; *Flor. Bar.* c. 47 f. 120r; Phld. *Mort.* col. XXVII 13 p. 337 B. (anon.); Epict. 2.6.18 (anon.); D.L. 2.11 (Anaxag.); 4.31 (Arcesil.); Stob. 3.40.8 (Aristipp.); *Corp. Par.* f. 113v; *Gnom. Vat.* 115 (Anaxag.); *Wien. Apophth.* 33 (Anaxag.); *App. Gnom.* 8 (Anaxag.); Kindstrand 13; *Corp. Par.* f. 148r (anon.); *Gnom. Par.* 212; Miller 52 p. 229 (Anaxag.); Bertini Malgarini 23 (Anaxag.)
= Diog. fr. V B 86 G.; = Anaxag. fr. A 34 *FVS* 59; = Aristipp. fr. IV A 103 G.

356. Δίων ὁ Ῥωμαῖος 'τίς οὐκ ἂν ἕλοιτο σώφρων ὢν ἐν τοῖς κόλποις τῆς πόλεως ἀποθανὼν κεῖσθαι μᾶλλον ἢ πορθουμένην ταύτην ἐπιδεῖν;'

[W]

Max. 36 p. 408 S.; Max. 36.23; *Flor. Bar.* c. 47 f. 119v
= D.C. fr. 94 M. p. 557

357. Ὁ αὐτὸς 'εἰ μέν τίς σοι' ἔφη 'κατεσκεύαζεν οἰκίας, ἔνθα μὴ ἔμελλες ῥέξειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ⟨ἄν⟩. νῦν δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας πολλάκις μέλλεις ἀποδημεῖν;'

[W] οἰκίας scripsi οἰκείας cod. | ἔμελλες scripsi ἔμελλεν cod. | ῥέξειν] fortasse μένειν | ⟨ἄν⟩ supplevi | μέλλεις scripsi μέλλοις cod.

Max. 36 p. 408 S.; Max. 36.24; *Flor. Bar.* c. 47 f. 119v
= D.C. fr. 95 M. p. 557

358. Δημόκριτος νοσήσας καὶ ληθάργῳ περιπεσὼν ὡς ἀνένηψεν 'οὐδέν με' ἔφη 'ἐξαπατήσει ἡ φιλοζωία' καὶ ἐξήγαγεν αὐτὸν τοῦ βίου.

[W]

Max. 36 p. 409 S.; Max. 36.37; Max. 36 904 C; Ant. 1.58 957 D; *Flor. Bar.* c. 47 f. 120r; Stob. 3.7.55 (Clitom.); *Corp. Par.* f. 126r (Clitom.; Democr.)
= Democr. fr. B 302.595 *FVS* 68

359. Δημοσθένης 'δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν' εἶπεν 'ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων.'

[W] πολέμῳ scripsi πολέμων cod.

Max. 37 p. 412 S.; Max. 37.16; Max. 37 905 D; *Flor. Bar.* c. 42 f. 113r (post Xenoph.); Apostol. 5.90h
= Demosth. 4.39

360. Ὁ αὐτὸς εἶπε 'πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερον.'

[W]

Max. 37 p. 412 S.; Max. 37.17; Max. 37 905 D; Ant. 1.26 861 A (post Greg. Nyss.); Phot. *Opusc. paraen.* 184 S. p. 20; Stob. 4.9.9; *Corp. Par.* f. 108r
= Demosth. fr. 26 B.-S.

361. Δημόκριτος τὸ νικᾶν αὐτὸν ἑαυτὸν ἔφη πασῶν πρώτην νικῶν καὶ ἀρίστην εἶναι, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ αἴσχιστόν τε καὶ κάκιστον.

[W]

Max. 37 pp. 413–414 S.; Max. 37.23; Ant. 1.26 861 C

362. Δίων ὁ χρονογράφος ἔφη 'κινδύνων γὰρ ἐλπὶς ἄνευ κινδύνων τίθησιν τὸν ἐλπίζοντα τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δοκήσει τὰ πράγματα.'

[W] τῷ scripsi τὸ cod.

Max. 38 pp. 416–417 S.; Max. 38.21 (D. Chr.); Ant. 1.5 789 A–B (D. Chr.); *Flor. Bar.* c. 17 f. 59r (D. Chr.)
= D. Chr. fr. 11 De B.

363. Δημόκριτος εἶπεν 'ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἂν εἴη ἐσχάτη.'

[W Al.] εἶπεν] ἔφη Al. | εἴη om. Al.

Max. 39 p. 422 S. (amplior); Max. 39.15; Max. 39 912 B; Ant. 2.34 1089 D (Ph.); *Flor. Bar.* c. 56 f. 130ᵛ; Apostol. 17.61f; Stob. 4.23.39; *Corp. Par.* f. 96ʳ (= *Exc. Par.* Democritus 41); *App. Vat.* 1: 45 (post Democr. Parrh.); Sbordone 1: 57; *Gnom. Byz.* 268 (Bar. 252) (anon.); *APM* Schenkl 131 (anon.)
= Democr. fr. B 111; B 302.204 *FVS* 68

364. Διογένης κοινολογουμένας γυναῖκας θεασάμενος ἔφη 'ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται.'

[WBVLPC Al.] Διογένης] ὁ αὐτὸς BVP Al. | ἐχίδνης p. corr. V ἐχίδνοις codd. Al. | δονείζεται B

Max. 39 p. 422 S.; Max. 39.17; Max. 39 912 B; Ant. 2.34 1092 A; *Flor. Bar.* c. 56 f. 130ᵛ; *PSorb.* 826 (cf. p. 386 G.); *Script. Prog.* 32 pp. 319–320 H.-O'N.; Corp. Par. f. 111ʳ; *Gnom. Par.* 220
= Diog. fr. V B 204 G.

365. Δίων ὁ Ῥωμαῖος 'οἱ φιλόμουσοι τῶν βασιλέων' φησὶ 'πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ δὲ φιλόλογοι λογίους, οἱ φιλαθληταὶ γυμναστικούς. οὕτως ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ, φιλήδονος ἑταιρικὴν καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλόκαλος σώφρονα καὶ κοσμίαν.'

[W]

Max. 39 p. 423 S.; Max. 39.20; Apostol. 2.100c (brevior; anon.); 12.53g; Plu. *Mor.* 140 B–C (17); Stob. 4.28.10 (brevior; post Plu.)
= D.C. fr. 100 M. p. 558

366. Ὁ αὐτὸς εἴρηκε 'τοῖς περὶ τὸν Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ τοὺς πολεμίους ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς, ἂν δὲ ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μετὰ βοῆς ἀνεξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπώντων δὲ προσλαλοῦσι καὶ παραμυθούμεναι καταπραΰνουσιν.'

[W] πολεμίους scripsi πολέμους cod. | ἐπίωσι scripsi ἐπιῶσι cod.

Max. 39 p. 423 S.; Max. 39.21; Plu. *Mor.* 143 C (37); Stob. 4.23.51 (post Plu.)
= D.C. fr. 101 M. p. 558

367. Διογένης ἐρωτηθεὶς τί νομίζει τὸ γῆρας εἶναι ἀπεκρίνατο 'τοῦ ζῆν χειμῶνα.'

[WBVLPC Al.] Διογένης] ὁ αὐτὸς BVP Al. | ἐρωτώμενος W | τοῦ] τὸ p. corr. V

Max. 41 p. 435 S. (Eratosth. ap. Favorin.); 41 p. 436 S. (Diog.); Max. 41.31 (Eratosth. ap. Favorin.); 41.33 (Diog.); Max. 41 917 D (bis: Eratosth. ap. Favorin.; Diog.); *Flor. Bar.* c. 49 f. 123ʳ (Eratosth. ap. Favorin.); Stob. 4.50b.78 (Eratosth.); 4.50b.84 (Metrocles); *Corp. Par.* f. 107ʳ (Eratosth. ap. Favorin. = Favorin. fr. 10 B.); *Gnom. Vat.* 291 (amplior; Eratosth.); *App. Gnom.* 52 (Eratosth.); *Gnom. Par.* 224 (Diog.)
= Diog. fr. V B 85 G.; = Metrocles fr. V L 4 G.; = Eratosth. fr. 47 *FGrHist* 241

368. Ὁ αὐτὸς ἰδὼν γραῦν καλλωπιζομένην εἶπεν 'εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι, εἰ δὲ πρὸς νεκρούς, μὴ βράδυνε.'

[WBVLPC Al.] γρᾶν P | πεπλάνησαι p. corr. V πεπλάνησο codd. Al.

Max. 41 p. 436 S.; Max. 41.34; Max. 41 917 D–920 A; Ant. 2.18 1057 B–C; *Corp. Par.* f. 111ʳ⁻ᵛ; *Gnom. Par.* 225
= Diog. fr. V B 217 G.

369. Δημόκριτος ἔφη 'ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον ⟨εἰ⟩ εἰς γῆρας ἀφίξεται. τὸ τέλειον οὖν ἀγαθὸν ⟨τοῦ⟩ μέλλοντος καὶ ἀδήλου κρεῖσσον.'

[W] ⟨εἰ⟩ et ⟨τοῦ⟩ supplevi | μέλλοντος scripsi μεσότητος cod.

Max. 41 p. 436 S.; Max. 41.35; Stob. 4.50a.22
= Democr. fr. B 295 *FVS* 68

370. Ὁ αὐτὸς ἔφη 'εἰ μὲν ἦν μαθεῖν ἃ δεῖ παθεῖν καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν. εἰ δὲ παθεῖν δεῖ, ⟨ἃ δεῖ μαθεῖν⟩, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή.'

[WBVLPC Al.] ⟨ἃ δεῖ μαθεῖν⟩ supplevi

Max. 42 p. 444 S.; Max. 42.15; Max. 42 924 A; *Flor. Bar.* c. 8 f. 25ʳ; Apostol. 6.67d; *Corp. Par.* f. 93ᵛ (= *Exc. Par.* Democritus 1); Boissonade, 1 pp. 117–118
= Democr. fr. B 302.163 *FVS* 68

371. Εὔπολις ὁ τῶν κωμῳδιῶν ποιητὴς πυνθανόμενος ὅτι Ἀλκιβιάδης τὰς τῶν πολιτῶν γυναῖκας μοιχεύει ἔφη 'Ἀλκιβιάδης μὴ ὢν ἀνὴρ πολλῶν γυναικῶν ἐστιν ἀνήρ.'

[WBVLPC Al.] μοιχεύῃ Al.

Favorin. 1 (in cod. Bar. gr. 50 f. 108ʳ; = Schenkl p. 468 n. 1; = Callanan–Bertini Malgarini pp. 172 et 175–176); Ath. 12.535 B (Pherecr.)
= Eup. fr. 171 *PCG* 5 p. 390; = Pherecr. fr. 155 *CAF* 1 p. 194

372. Εὔκριτος ὁ Χῖος ἐρωτηθεὶς ὑπό τινος πότερον ἂν θέλοι γενέσθαι Κροῖσος ἢ Σωκράτης ἔφη 'ζῶν μὲν Κροῖσος, ἀποθανὼν δὲ Σωκράτης.'

[WBVLPC Al.] Εὔκριτος] fortasse Θεόκριτος | θέλει a. corr. V

Favorin. 2 (in cod. Bar. gr. 50 f. 108ʳ; = Schenkl p. 468 n. 1; = Callanan–Bertini Malgarini pp. 172 et 176–177)

373. Εὐριπίδης ὁ τῶν τραγῳδιῶν ποιητὴς παρακαλούμενος ὑπ' Ἀρχελάου τοῦ βασιλέως τραγῳδίαν εἰς αὐτὸν γράψαι ἔφη 'μή σοι γένοιτο, ὦ βασιλεῦ, ἴδια τραγῳδίας παθεῖν.'

[W] παρα- scripsi περι- cod. | γένοιτο scripsi γένηται cod. | τραγῳδίας scripsi τραγῳδία cod.

Favorin. 5 (in cod. Bar. gr. 50 f. 108^{r}; = Schenkl p. 468 n. 1; = Callanan–Bertini Malgarini pp. 173 et 180–181); Diom. *Ars gramm.* 3 p. 488.20 K. 1

374. Ἐφιάλτης ὁ Ἀθηναίων ⟨δημαγωγὸς⟩ ἀπαχθεὶς εἰς τὸ δεσμωτήριον ὑπὸ Ἀθηναίων, τοῦ δὲ δεσμοφύλακος ἐρωτῶντος αὐτὸν καὶ πυνθανομένου μή τι ἔχοι 'ἀλλ' οὐκ ἐμπορευσόμενος, ὦ οὗτος,' ⟨ἔφη⟩ 'ἐνθάδε ἥκω, ἀλλ' ἀποθανούμενος.'

[W] Ἐφιάλτης scripsi Ἀφιάλτης cod. | ⟨δημαγωγὸς⟩ et ⟨ἔφη⟩ supplevi

375. Εὐριπίδης ἀγωνιᾶν ἔφησεν εἰς τὰ θέατρα παραγενόμενος, οὐκ εἰ νικηθήσεται, ἀλλ' εἰ δόξει παρὰ τὸ πρότερον ἑαυτοῦ χείρων εἰσεληλυθέναι.

[W] εἰ^{2} scripsi ἢ cod. | χείρων scripsi χεῖρον cod.

Gnom. Vat. 269

376. Ἐκ τῶν πατέρων. Διὰ τεσσάρων πραγμάτων ἡ ψυχὴ μιαίνεται, τῷ περιπατεῖν ἐν πόλει καὶ μὴ φυλάσσειν τοὺς ὀφθαλμούς, τῷ ὅλως ἔχειν γνῶσιν μετὰ γυναικῶν, τῷ ἔχειν φιλίαν μετὰ ἐνδόξων καὶ τῷ ἀγαπῆσαι τὰς σαρκικὰς ὁμιλίας καὶ ματαιολογίας.

[W] ἔχειν^{1} scripsi ἔχει cod.

Max. 1 p. 6 S.; Max. 1.30; Max. 1 728 A; Max. 1 p. 11 W. (ap. *Flor. Lips.*); *Flor. Bar.* c. 26 f. 84^{r}; *Corp. Par.* f. 79^{r-v} (ἄλλου)

377. a. Ἐκ ⟨τοῦ περὶ⟩ τῶν βραδέως τιμωρουμένων ὑπὸ τοῦ θεοῦ. Ἄτοπα πολλὰ καὶ φαῦλα προεξανθοῦσιν αἱ μεγάλαι φύσεις, ὧν ἡμεῖς τὸ τραχὺ καὶ νύττον οὐ φέροντες ἀποκόπτειν οἰόμεθα ⟨δεῖν⟩ καὶ κολούειν, ὁ δὲ βελτίων κριτὴς καὶ ἀπὸ τούτων τὸ χρηστὸν ἐνορῶν καὶ γενναῖον περιμένει λόγου καὶ ἀρετῆς συνεργὸν ἡλικίαν καὶ ὥραν, ᾗ τὸν οἰκεῖον καρπὸν ἡ φύσις ἀποδίδωσι. b. καὶ γὰρ οὐκ ἔστι κυνὸς ἀντάξιος οὐδ' ὄνου δειλὸς ἀνὴρ καὶ ἄναλκις ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.

[W] ⟨τοῦ περὶ⟩ supplevi | προεξανθοῦσιν scripsi προξενοῦσιν cod. | ⟨δεῖν⟩ supplevi | κολούειν scripsi κωλύειν cod. | λόγου scripsi λόγον cod. | δειλὸς scripsi δεινὸς cod.

a. Max. 1.42
= Plu. *Mor.* 552 C–D
b. Max. 1 p. 9 S. (post Plu.; ante Diog.); Max. 1.43 (post. Plu.; ante Diog.); Max. 1 728 B (post Plu.)
= Plu. *Mor.* 32 F; cf. *Gnom. Bas.* 167 (Diog.)

378. Εὐριπίδης εἶπεν
οὔτε λείψανα τῶν ἀγαθῶν

ἀνδρῶν ἀφαιρεῖται χρόνος. ἡ δ' ἀρετὴ
καὶ θανοῦσι λάμπει.

[W Al.] ἡ δ' ἀρετὴ scripsi ἐν (ἀν W) δ' ἀρετῇ W Al.

Max. 1 p. 13 S.; Max. 1.62; Max. 1 p. 181 R.; Ant. 1.7 795 A et 796 A; Apostol. 13.19d; Stob. 3.1.2; *Corp. Par.* ff. 121^{v}–122^{r}; Orion *Anth.* 7.7 (brevior)
= Eur. *Andr.* 774–776

379. Ἐκ τοῦ πότερα τῶν ζῴων φρονιμώτερα. Οἱ γέρανοι καὶ περὶ τὴν πτῆσιν εὐδοκιμοῦσι. πέτανται γὰρ ὅταν ᾖ πνεῦμα πολὺ καὶ τραχὺς ἀήρ, οὐχ ὥσπερ εὐδίας οὔσης μετωπηδὸν ἢ κόλπῳ μηνοειδοῦς περιφερείας, ἀλλ' εὐθὺς εἰς τρίγωνον συνάγουσαι σχίζουσι τῇ κορυφῇ τὸ πνεῦμα περιρρέον, ὥστε μὴ διασπᾶσθαι τὴν τάξιν. ὅταν δὲ κατάρωσιν ἐπὶ γῆν, αἱ προφυλακὴν ἔχουσαι νυκτὸς ἐπὶ θατέρου σκέλους ὀχοῦνται τὸ σῶμα, τῷ δ' ἑτέρῳ σκέλει λίθον περιλαβοῦσαι κρατοῦσι. συνεχὴς γὰρ ὁ τῆς ἁφῆς τόνος ἐν τῷ μὴ καθεύδειν πολὺν χρόνον. ὅταν δὲ ἀνῶσιν, ἐκπεσὼν ὁ λίθος ταχὺ προήγειρε τὴν προειρημένην.

[W] μετωπηδὸν scripsi μετωποδὸν cod. | μηνο- scripsi μονο- cod. | περιφερείας scripsi περιφέρει cod. | συνάγουσαι scripsi συνάγουσι cod. | αἱ scripsi καὶ cod. | συνέχει Leonicus | τόνος scripsi πόνος cod.

Max. 2.18
= Plu. *Mor.* 967 B–C

380. Ἐπίκτητος ἔφη 'τήρει τὰ πολλὰ πρὸ τοῦ λέγειν τι ἢ πράττειν. οὐ γὰρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τὰ λεχθέντα ἢ πραχθέντα.'

[W]

Max. 2.41; Max. 2 733 C; Max. 2 p. 16 W. (ap. *Flor. Lips.*); Ant. 1.10 800 C (post Eccl.); *Flor. Bar.* c. 9 f. 27^{r}; Jo. Georg. G 203 O. (post Nil.); *Gnom. Byz.* 143 (Par. 63; Bar. 175; Leid. 66; Mon. 67) (anon.); *GB* Cas. 42; *GB* Clark. 123; *Pyth.* Schenkl 12; Boissonade, 1 p. 134 (anon.)

381. Ὁ αὐτὸς εἶπεν 'οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν.'

[W]

Max. 3.37; Max. 3 744 A; Max. 3 p. 20 W. (ap. *Flor. Lips.*); Ant. 2.81 1200 B (anon.); *Exc. Flor.* 2.30.12; Stob. 3.6.56 (post Pythag.; ante Epict.); *Corp. Par.* f 118^{r}; *Gnom. Byz.* 120 (Bar. 165; Leid. 57; Mon. 57) (anon.); *GB* Ath. 58; *GB* Clark. 104; *GB* Vind. 81; *Pyth.* Schenkl 77

= Epict. fr. A 35 S.

382. Ὁ αὐτὸς εἶπεν 'εἰ βούλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας. ἔσῃ δ' ἐλεύθερος, ἐὰν ἀπολυθῇς ἐπιθυμίας.'

[W] βούλει scripsi βούλοι cod. |ἔσῃ scripsi ἔς cod. | ἐλεύθερος scripsi ἐλευθέρους cod. | ἐπιθυμίας scripsi ἐπεθύμει cod.

Max. 3 p. 37 S.; Max. 3.38; Max. 3 p. 185 R.; Max. 3 p. 20 W. (ap. *Flor. Lips.*); Ant. 1.14 812 D; Stob. 3.1.162 (amplior); *Corp. Par.* f. 123r
= Epict. fr. C 38a–b S.

383. Ὁ αὐτὸς εἶπεν 'ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον ἐν ἀληθείᾳ ὁρῶσιν, οἱ δὲ τὰ προσδοκηθέντα τοῖς κρατοῦσιν ἀφορῶσι καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι τοῖς παρ' αὐτῶν λεγομένοις συννεύουσιν.'

[W] τὰ προσδοκηθέντα] fortasse πρὸς τὰ δοκοῦντα

Max. 11 pp. 124–125 S.; Max. 11.41; Max. 11 789 D; *Flor. Bar.* c. 24 f. 80v

384. Εὐσέβιος εἶπεν 'οἱ μάταιοι τῶν ἀνθρώπων τοὺς μὲν μεγάλα χρήματα ἔχοντας καὶ φαύλους ὄντας τιμῶσί τε καὶ θαυμάζουσι, τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀρχηματίαν καταγνῶσιν, ὑπερφρονέουσιν.'

[W Al.]

Max. 12 p. 134 S.; Max. 12.80; Max. 12 800 A–B; Ant. 1.31 884 D; Stob. 3.4.104; *Corp. Par.* f. 116r
= Eus. fr. 7 *FPG* 3 p. 9

385. Ἐπίκτητος 'ἡ αὐτάρκεια' ἔφη 'καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν.'

[W Al.]

Max. 13 p. 141 S. (DIE); Max. 13.23 (DIE); Max. 13 805 C (DIE); Jo. Georg. G 469 O. (Pythag.); *Exc. Flor.* 2.30.6 (DIE); Apostol. 8.41b; Stob. 3.5.34 (post Socr.); *Gnom. Byz.* 210 (Par. 74) (anon.); *GB* Ath. 167

386. Ὁ αὐτὸς ἐρωτηθεὶς 'τίς ἐν ἀνθρώποις πλούσιος;' εἶπεν 'ὁ αὐτάρκης.'

[WBVLPC Al.] ὁ αὐτὸς] Ἐπίκτητος Al.

Max. 13.25 (post DIE); Max. 13 p. 206 R. (DIE); *Exc. Flor.* 2.30.8 (post DIE); *Gnom. Vat.* 180 (post Diog.); Boissonade, 2 p. 468 (Diog.)
= Diog. fr. V B 241 G

387. Εὐριπίδης ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐπειδὴ ὀψωνοῦντος αὐτοῦ ἐπελάβετό τις λέγων ὅτι 'Σοφοκλῆς τοῦτο διὰ δούλου ποιεῖ' ἔφη 'τοιγαροῦν ὁ Σοφοκλῆς ἐσθίει ὄψον ὁποῖον ἂν αὐτοῦ τῷ οἰκέτῃ ἀρέσῃ, ἐγὼ δὲ ὁποῖον ἂν ἐμοί.'

[WBVLPC Al.] αὐτοῦ scripsi αὐτῷ codd. Al.

Max. 13 p. 142 S.; Max. 13.27; *Exc. Flor.* 2.30.10; *Gnom. Vat.* 275; *Gnom. Par.* 146; Miller 19 p. 222
= Soph. T 59 *TrGF* 4 p. 55

388. Εὐσέβιος 'ὑπὲρ τῆς κοινῆς χρὴ' ἔφη 'εὔχεσθαι πρότερον σωτηρίας, εἶθ' οὕτως ὑπὲρ αὐτῶν.'

[W]

Max. 14 p. 145 S.; Max. 14.18; Max. 14 809 C–D; *Flor. Bar.* c. 3 f. 10v; Jo. Dam. 1452 C (amplior)
= Eus. *PE* 8.8.29 (*PG*, 21 616 C); = J. *Ap.* 2.196

389. Ἐπίκουρος 'εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ θεὸς κατηκολούθει,' ἔφη 'θᾶττον ἂν ἀπώλλυντο πάντες ἄνθρωποι, συνεχῶς πολλὰ καὶ χαλεπὰ κατ' ἀλλήλων εὐχόμενοι.'

[WBVLPC Al.]

Max. 14 p. 146 S.; Max. 14.26; Max. 14 812 B; *Corp. Par.* f. 115r
= Epicur. fr. 388 U.

390. Ἐπίκτητος εἶπεν 'οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν θεῷ προσέρχωνται. ὅμοιον δὲ ἔχουσι θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.'

[W] γίνονται scripsi γίνωνται cod. | βελτίους scripsi βέλτιοι cod. | ἔχουσι scripsi ἔχωσι cod.

Max. 14.27 (DIE); Max. 14 812 C (Isoc.); Ant. 1.46 925 D (post Isoc.); *Flor. Bar.* c. 3 f 11v (brevior; Isoc.); *Gnom. Byz.* 16 (Pal. 16; Par. 10; Bar. 9; Leid. 18; Mon. 15) (anon.); *GB* Cas. 12–13; *GB* Clark. 16; *GB* Vind. 14; cf. *Gnom. Bas.* 214 (Demosth.)
= Isoc. fr. III α' 7 B.-B.

391. Ἐτεοκλῆς 'μὴ τὰς τῶν λεγόντων' ἔφη 'δυνάμεις ἀλλὰ τὰς τῶν πραγμάτων φύσεις δοκιμάζειν.'

[W] Ἐτεοκλῆς scripsi Ἐτεροκλῆς cod.

Max. 15 p. 155 S.; Max. 15.57; Max. 15 816 A; *Corp. Par.* f. 117v

392. Εὐριπίδης
τὸ γὰρ λέγειν
εὖ (ἔφη) δεινόν ἐστιν εἰ φέροι τινὰ βλάβην.

[W] φέροι scripsi φέροιτο cod.

Max. 15 pp. 155–156 S.; Max. 15.64; Max. 15 816 B (anon.); Stob. 3.13.9; 3.34.2 (amplior); *Corp. Par.* f. 133v
= Eur. *Arch.* fr. 253 *TGF* pp. 433–434

393 a. Ἐπίκτητος 'τὸν νουθετοῦντα' εἶπε 'δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καὶ αἰσχύνης ἐπιμελεῖσθαι. οἱ γὰρ ἀπερυθριάσαντες ἀδιόρθωτοι.' b. 'καὶ γὰρ κρεῖττον τὸ νουθετεῖν τοῦ ὀνειδίζειν. τὸ μὲν γὰρ ἤπιόν τε καὶ φίλον, τὸ δὲ σκληρόν τε καὶ ὑβριστικόν. καὶ τὸ μὲν διορθοῖ τοὺς ἁμαρτάνοντας, τὸ δὲ μόνον ἐξελέγχει.'

[W]

a. Max. 16.30; Max. 16 817 C; *Flor. Bar.* c. 16 f. 57^{r}; Jo. Georg. G 981 O. (anon.); *Gnom. Byz.* 58 (Pal. 50; Par. 26; Bar. 42) (anon.); *GB* Ath. 123; *GB* Clark. 55; *GB* Vind. 42
b. Max. 16 p. 160 S.; Max. 16.31; Max. 16 917 D; *Flor. Bar.* c. 16 f. 57^{r} (Hieron; post Epict.); *Gnom. Byz.* 59 (Pal. 51; Par. 27; Bar. 41; Leid. 35; Mon. 33) (anon.); *GB* Ath. 124; *GB* Clark. 56; *GB* Vind. 43

394. Ἐμπεδοκλῆς ἐρωτηθεὶς 'διὰ τί σφόδρα ἀγανακτεῖς κακῶς ἀκούων;' ἔφη '⟨ὅτι⟩ οὐδὲ ἐπαινούμενος ἡσθήσομαι, εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι.'

[WBVLPC Al.] ⟨ὅτι⟩ supplevi | ἀκούων^{2} om. P

Max. 16 p. 160 S.; Max. 16.32; Max. 16 817 D; *Flor. Bar.* c. 16 f. 57^{r} (in mg.); D.L. 9.29 (Zeno Eleat.); *Gnom. Vat.* 274 (post Eur.); *Corp. Par.* f. 150^{v}; *Gnom. Par.* 153
= Emp. fr. A 20 *FVS* 31; = Zeno Eleat. fr. A 1 *FVS* 29

395. Ὁ αὐτὸς πρὸς τὸν λέγοντα ὅτι 'οὐδένα σοφὸν εὑρεῖν δύναμαι' 'κατὰ λόγον' εἶπε 'τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.'

[WBVLPC Al.]

Max. 17 p. 169 S.; Max. 17.53; Max. 17 825 A; Ant. 1.50 936 B; *Exc. Flor.* 2.13.141; D.L. 9.20 (Xenoph.); *Gnom. Vat.* 283; *Corp. Par.* f. 150^{v}; *Gnom. Par.* 158
= Emp. fr. A 20 *FVS* 31; = Xenoph. fr. A 1 *FVS* 21

396. Ἐπίκτητος νεανίσκου τινὸς ἐν θεάτρῳ ἐναβρυνομένου καὶ λέγοντος ὅτι 'σοφός εἰμι, πολλοῖς γὰρ ὡμίλησα σοφοῖς' εἶπε 'κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμί.'

[WBVLPC Al.] -ου (verbi ἐναβρυνομένου) s. lin. iter. W

Max. 17.63 (post DIE); Max. 17 825 D (Democr.); Ant. 1.50 936 C (post Democr.); *Flor. Bar.* c. 38 f. 106^{v} (post Philistion.); *Exc. Flor.* 2.13.149 (anon.); *Flor. Leid.* 207 (anon.); *Flor. Mon.* 219 (anon.); *Corp. Par.* f. 156^{r} (anon.); *Gnom. Par.* 163 (Crates); *APM* Schenkl 88 (anon.)

397. Ὁ αὐτὸς ἔφη 'οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα ἐν μεθύουσιν.'

[WBVLPC Al.] ἐν^{2} s. lin. add. V om. codd. Al.

Max. 17.64 (post DIE); Max. 17 828 A (post Democr.); Ant. 1.50 936 C (post Democr.); *Flor. Bar.* c. 38 f. 106^{v} (post Philistion.); *Exc. Flor.* 2.13.150 (anon.); *Gnom.*

Vat. 426 (Pl.); *Flor. Leid.* 216 (post Pl.); *Flor. Mon.* 228 (post Pl.); *App. Vat.* 1: 108 (Pl.); *Gnom. Par.* 164 (post Crat.)
= Pl. Sent. 25 S.

398. Ἐπίκουρος 'οὐ προσποιεῖσθαι ⟨δεῖ⟩' ἔλεγε 'φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν. οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ⟨ἀλλὰ τοῦ κατὰ ἀλήθειαν ὑγιαίνειν⟩.'

[W Al.] εἶπεν post Ἐπίκουπος add. Al. | ⟨δεῖ⟩ supplevi | ἔλεγε om. Al. | προσδεομένῳ Al. | ὑγιαίνειν^{1}] φιλοσοφεῖν Al. | ⟨ἀλλὰ ... ὑγιαίνειν⟩ supplevi

Max. 17.72; Max. 17 828 C: *Corp. Par.* f. 115^{r}
= Epicur. fr. 220 U.; = fr. 6.54 A.

399. Εὐάγριος 'πᾶσα συμφορὰ κούφη ἐστὶν' εἶπεν 'ἀνδρὶ μὴ κούφῳ.'

[W]

Max. 18 p. 176 S.; Max. 18.19; Max. 18 832 B; Ant. 1.70 981 C; *Flor. Bar.* c. 31 f. 92^{r}; *Gnom. Byz.* 238 (Bar. 233) (anon.); *Gnom. Hom.* App. 44 (Plu.); Jo. Clim. *Scal.* Sch. 30 (*PG*, 88 793 A) (Arist.)

400. Ὁ αὐτὸς ἔφη 'χαίρειν ἐπὶ ταῖς ἑτέρων ἀτυχίαις, εἰ καὶ δίκαιόν ποτε, ἀλλ' οὐκ ἀνθρώπινον.'

[W]

Max. 18 p. 176 S. (Ph.); Max. 18.20 (Ph.); Max. 18 832 A (Ph.); *Flor. Bar.* c. 31 f. 92^{r} (Ph.); *Corp. Par.* f. 72^{r} (Ph.)

401. Ἐπίκουρος 'ἡ ταπεινὴ ψυχὴ' ἔφη 'τοῖς μὲν εὐημερήμασιν ἐχαυνώθη, ταῖς δὲ συμφοραῖς ἐκαθηρέθη.'

[W]

Max. 18 p. 178 S.; Max. 18.44; Max. 18 833 C; *Flor. Bar.* c. 31 f. 92^{r}; Apostol. 8.71b; *Corp. Par.* f. 115^{r}
= Epicur. fr. 488 U.; = fr. 201 A.

402. Ἐπίκτητος 'οἱ πεπαιδευμένοι' ἔφη 'καθάπερ οἱ ἐκ παλαίστρας κἂν πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται.'

[W]

Max. 18 p. 179 S. (DIE); Max. 18.47 (DIE); Max. 18 833 C (DIE); Ant. 1.70 984 (post Cypsel.); *Flor. Bar.* c. 31 f. 92^{r} (DIE); Apostol. 12.53a (Isoc.); *Gnom. Byz.* 55 (Pal. 47; Par. 25; Bar. 40) (anon.); *GB* Ath. 157; *GB* Clark. 52; *Gnom. Hom.* 8 (post Pythag.)

403. Εὐάγριος ἔφη (a.) 'ὥσπερ ὀπώρας παρούσης ἀπολαύειν δεῖ, (b.) οὕτως

καὶ ὁ βρωμάτων καὶ πομάτων ἀπεχόμενος, θυμὸν δὲ ἀλόγως κινῶν [ἔφη] οὗτος ἔοικε ποντοπορούσῃ νηὶ καὶ ἐχούσῃ δαίμονα κυβερνήτην.'

[W] [ἔφη] seclusi | e duabus sententiis una facta est

(a.) Max. 18 p. 179 S. (post DIE); Max. 18.48 (post DIE); Max. 18 836 A (post DIE); *Flor. Bar.* c. 31 f. 92^r (post DIE); *Gnom. Byz.* 108 (Pal. 86; Par. 69; Bar. 100) (anon.); *GB* Ath. 199; *GB* Clark. 96; *GB* Vind. 74; *Gnom. Hom.* 120 (post Democr.)
(b.) Max. 19 pp. 186–187 S.; Max. 19.17; Max. 19 840 A; *Flor. Bar.* c. 34 ff. 96^v–97^r; Jo. Dam. 273 B; *Corp. Par.* f. 75^r
= Euagrius *Sent.* 74 E.

404. a. Εὐριπίδης εἶπεν
αἰδὼς γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτοῖς.
b. καὶ
ὥσπερ ⟨δὲ⟩ θνητὸν ⟨καὶ⟩ τὸ σῶμ' ⟨ἡμῶν⟩ ἔφυ,
οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

[W] ⟨δὲ⟩ et ⟨καὶ⟩ et ⟨ἡμῶν⟩ supplevi | σῶμ' scripsi σῶμα cod. | ἔφυ scripsi ἔφη cod.

a. Max. 19 p. 188 S.; Max. 19.38; Max. 19 841 A; Stob. 3.31.1; *Corp. Par.* f. 133^r
= Eur. fr 746 *TGF* p. 593
b. Max. 19 p. 188 S.; Max. 19.39; Max. 19 841 A; Stob. 3.20.17
= Eur. fr. 799 *TGF* p. 620

405. Ἐπίχαρμος 'μὴ ἐπὶ μικροῖς αὐτὸς αὑτὸν' ἔλεγεν 'ὀξύθυμον δείκνυε.'

[W]

Max. 19.53; Max. 19 844 A (amplior; Thgn.); *Flor. Bar.* c. 34 f. 98^r; Stob. 3.20.8; *Corp. Par.* f. 130^v
= Epich. fr. B 42 *FVS* 23

406. Εὐκλείδης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος 'ὁποῖοί τινές εἰσιν οἱ θεοί, καὶ τίνι χαίρουσι;' 'τὰ μὲν ἄλλα οὐκ οἶδα' ἔφη 'τοὺς μέντοι φιλοπράγμονας ὅτι μισοῦσιν, ἀσφαλῶς οἶδα.'

[WBVLPC Al.] ὅτι μισοῦσι in mg. V

Max. 21 p. 206 S.; Max. 21.27; Max. 21 853 A; *Flor. Bar.* c. 54 f. 126^v (Arist.); *Gnom. Vat.* 277; *Corp. Par.* f. 150^r; *Gnom. Par.* 185
= Euclides fr. 11 D.

407. Ὁ αὐτὸς 'ὑγιαίνων νοσεῖ πᾶς περίεργος' ἔφη 'ὁ τὰ ἀλλότρια πολυπραγμονῶν.'

[W]

Max. 21 p. 206 S.; Max. 21.28; Max. 21 853 A (Demonax); Ant. 2.76 1192 B; *Flor. Bar.* c. 54 f. 126^v (post Arist.); Jo. Georg. δ 29 O. p. 263; Men. *Mon.* 653 J.; Secund.

Sent. 18 P.; *Vita Aesopi* (W) 55 p. 91.23–24 P.; *Corp. Par.* f. 161^r (anon.); *GB* Ath. 208; *APM* Schenkl 127 (anon.); Boissonade, 1 p. 137 (Chilon)
= Demonax fr. 29 F.; cf. Euclides: Döring p. 78 n. 1

408. Ἐκ τῶν γαμικῶν παραγγελμάτων. Τοὺς υἱοὺς δοκοῦσι μᾶλλον ἀγαπᾶν αἱ μητέρες, ὡς δυναμένους αὐταῖς βοηθεῖν, οἱ δὲ πατέρες τὰς θυγατέρας ὡς δεομένας αὐτῶν βοηθούντων.

[W]

Max. 23 p. 219 S.; Max. 23.18; *Flor. Bar.* c. 39 f. 108^v
= Plu. *Mor.* 143 B (36; amplior)

409. Εὐριπίδης εἶπεν
ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
οὗτος ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῦ φίλος.

[W]

Max. 23 p. 221 S.; Max. 23.30; Max. 23 860 C; Ant. 2.11 1049 A; *Flor. Bar.* c. 39 f. 109^r; Stob. 4.25.2; *Corp. Par.* f. 137^v; Orion *Eur.* 7 p. 265 M.
= Eur. fr. 852 *TGF* p. 637

410. Ὁ αὐτὸς
οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι.
καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.

[W]

Max. 23 p. 221 S.; Max. 23.31; Max. 23 860 C; Ant. 2.11 1049 A; *Flor. Bar.* c. 39 f. 109^r; Stob. 4.25.3; 4.29c.46 (amplior); *Corp. Par.* f. 137^v; *Wien. Apophth.* 141 (vv. 1–2; anon.); Orion *Eur.* 9–10 p. 265 M.
= Eur. *Heracl.* 297–298; = fr. 949 *TGF* p. 665

411. Ἐπίκτητος ἔλεγεν 'τοὺς υἱοὺς σπούδαζε πεπαιδευμένους μᾶλλον ἢ πλουσίους καταλιπεῖν.'

[W]

Max. 23 pp. 221–222 S. (Epict.); Max. 23.33 (Isoc.); Max. 23 861 A (DIE); Ant. 2.9 1044 C (amplior); *Flor. Bar.* c. 39 f. 109^r (DIE); *Gnom. Byz.* 50 (amplior; Pal. 44; Par. 23; Bar. 35) (anon.); *GB* Cas. 41; *GB* Clark. 47; *GB* Vind. 37

412. Ὁ αὐτὸς τοῖς παισὶ συνεβούλευεν αἰδῶ δεῖν καταλιπεῖν ἢ χρυσόν.

[W]

Max. 23 p. 222 (post Epict.); Max. 23.35 (post Isoc.); Max. 23 861 A (post DIE); *Flor. Bar.* c. 39 f. 109^r (post DIE); Stob. 3.1.202 (amplior; Pl.); 4.1.115 (amplior; Pl.); *Gnom. Vat.* 425 (Pl.); *Flor. Leid.* 217 (post Pl.); *Flor. Mon.* 229 (post Pl.)
= Pl. *Lg.* 5.729 B; = Pl. Sent. 24 S.

413. Ἐγχειρίδ⟨ιον⟩ ἔλεγεν 'θυγάτηρ ἀλλότριον κτῆμα τῶν γονέων ὑπάρχει.'

[W] ⟨ιον⟩ supplevi

Max. 23 p. 222 S. (post Epict.); Max. 23.34 (post Isoc.); Max. 23 861 A (post DIE); Ant. 2.9 1044 C (post Epict.); *Flor. Bar.* c. 39 f. 109r (post DIE)

414. Ὁ αὐτὸς εἶπε 'πατρὸς ὕβρις ἡδὺ φάρμακον. ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ δάκνοντος.'

[W] ὠφελοῦν scripsi ὠφεφελοῦν cod.

Max. 23.36 (post Isoc.); Max. 23 861 A (post DIE): Ant. 2.9 1044 C (brevior; post Epict.); *Flor. Bar.* c. 39 f. 109r (post DIE); Phot. *Opusc. paraen.* 109 S. p. 14; Stob. 4.26.22 (Socr.); *Corp. Par.* f. 158v; *APM* Schenkl 101 (anon.); *Gnom. Hom.* 68c

415. Ἐπίκουρος 'οὐκ ἔστιν ἄφοβον εἶναι' ἔλεγεν 'φοβερὸν φαινόμενον.'

[W]

Max. 24 p. 227 S.; Max. 24.26; Max. 24 864 B; *Flor. Bar.* c. 43 f. 114v; Apostol. 13.39r; *Corp. Par.* f. 115v
= Epicur. fr. 537 U.; = fr. 249 A.

416. Εὐριπίδης εἶπεν
ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής.
λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα.

[W]

Max. 24 p. 228 S.; Max. 24.27; Max. 24 864 C; Stob. 3.4.10; *Corp. Par.* f. 125r
= Eur. fr. 735 *TGF* p. 591

417. Εὐάγριος ἔφη 'φυτὸν μετεκριζούμενον συνεχῶς καρπὸν οὐ ποιεῖ.'

[W] μετεκριζούμενον scripsi μετεκριζόμενον cod. fortasse μεταφερόμενον

Max. 25 p. 233 S.; Max. 25.19; Max. 25 865 C; Ant. 1.17 832 D; Jo. Dam. 1404 C; *Corp. Par.* f. 75r
= Euagrius *Sent.* 75 E.

418. Ἐπίχαρμος εἴρηκεν 'οὐ μετανοεῖν ἀλλὰ προνοεῖν χρὴ τὸν σοφὸν ἄνδρα.'

[W]

Max. 25 p. 234 S.; Max. 25.22; Max. 25 p. 223 R.; Ant. 1.17 832 D; Stob. 3.1.10; *Corp. Par.* f. 118r–v; Cramer (Ox.), 4 p. 253 (anon.)
= Epich. fr. B 41 *FVS* 23

419. Ἐπίκτητος ἔλεγεν 'φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτία ἐπαίρῃ,

ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία. ἐπεὶ ἀποσκυβαλίζεται μὲν καὶ συνεκρεῖ ὁ ἔπαινος, ἡ δέ, κἂν ἡ ψυχὴ χωρισθῇ, διὰ παντὸς ἀκήρατος μένει.'

[W] ἐπαίρῃ scripsi ἐπιρρῇ cod. | ὁ ἔπαινος] ὁ σιτισμός aut ἡ ἔπαρσις Schenkl secl. Hirschig

Max. 27 p. 250 S.; Max. 27.25; Max. 27 876 B; *Flor. Bar.* c. 18 f. 62v; Stob. 3.1.143; *Corp. Par.* f. 124r
= Epict. fr. C 19 S.

420. Εὐάγριος ἔφη 'ῥώννυσι μὲν οἶνος σῶμα, τὴν δὲ ψυχὴν λόγος θεοῦ.'

[W]

Max. 30 p. 260 S.; Max. 30.12; Max. 30 884 C; Ant. 1.41 920 A; Jo. Dam. 217 B; Jo. Georg. G 920 O.; Nil. *Cap. paraen.* 17 (*PG*, 79 1252 A); *Gnom. Byz.* 237 (Bar. 216) (anon.); cf. *Pyth.* Schenkl 90
= Euagrius *Sent.* 17 E.

421. Ἐν Ἀθήνησι τις ἑστιῶν πρέσβεις βασιλικοὺς ἐφιλοτιμήθη συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους. χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβουλὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος 'περὶ σοῦ δὲ τί χρὴ λέγειν,' ἔφασαν 'ὦ Ζήνων, τῷ βασιλεῖ;' κἀκεῖνος ἄλλο μηθὲν εἶπεν ἢ ὅτι 'πρεσβύτης ἐν Ἀθήναις ἐστὶν εἰς πότον σιωπᾶν δυνάμενος.'

[W] πρέσβεις scripsi πρέσβυς cod. | ἐφιλοτιμήθη scripsi ἐφιλομύθει cod. | κοινολογίᾳ scripsi κοινολογᾶν cod. | εἶπεν scripsi εἰπεῖν cod.

Max. 30.16 (post Plu.); cf. D.L. 7.24 (Zeno); Stob. 3.33.10 (Zeno); *Gnom. Par.* 195
= Plu. *Mor.* 504 A; = Zeno fr. 284 *SVF* 1 pp. 64–65

422. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις εἶπεν 'οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην.'

[W]

Max. 4 p. 43 S.; Max. 4.14; Max. 4 745 C–D; *Flor. Bar.* c. 40 f. 110r; Eust. *ad. Il.* 22.271 p. 1269.17 sqq.; Plu. *Alex.* 31.12; Arr. *An.* 3.10.2; *Corp. Par.* f. 109r; *Gnom. Vat.* 77; *Wien. Apophth.* 4; *Gnom. Par.* 12; Boissonade, 3 p. 468

423. Ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων τεκνοποιῆσαι ἔφη 'μὴ ἀγωνιᾶτε. καταλείπω γὰρ ὑμῖν τέκνα τὰς ἐκ τῶν ἀγώνων νίκας.'

[W] διον in mg. add. cod.

Max. 4 p. 43 S.; Max. 4.16; Max. 4 748 A; *Flor. Bar.* c. 40 f. 110r; *Corp. Par.* f. 110r; *Gnom. Vat.* 76; *Flor. Leid.* 146; *Flor. Mon.* 156

424. Ἀλεξάνδρου ἐξιόντος ἐπὶ πόλεμον Ἀριστοτέλης ἔφη 'περίμεινον τὸ τέλειον τῆς ἡλικίας, καὶ τότε πολέμει.' ὁ δὲ 'φοβοῦμαι' εἶπε 'μή πως περιμένων τὸ τέλειον τῆς ἡλικίας τὴν τῆς νεότητος τόλμαν ἀπολέσω.'

[W] Ἀλεξάνδρου ἐξιόντος scripsi Ἀλέξανδρος ἐξιὼν cod. | φοβοῦμαι scripsi φοβούμενος cod.

Max. 4 p. 43 S.; Max. 4.17; Max. 4 748 A; *Flor. Bar.* c. 40 f. 110ʳ; *Gnom. Vat.* 98; *Wien. Apophth.* 3; *Corp. Par.* f. 146ᵛ; *Gnom. Par.* 94

425. Ἀλκιβιάδης ἔτι παῖς ὢν ἐλήφθη ἐν παλαίστρᾳ καὶ μὴ δυνάμενος διαφυγεῖν ἔδακε τὴν χεῖρα τοῦ παλαίοντος. εἰπόντος δὲ ἐκείνου 'δάκνεις ὡς αἱ γυναῖκες' 'οὐ μὲν οὖν' εἶπεν 'ἀλλ' ὡς οἱ λέοντες.'

[W]

Max. 4 p. 44 (ap. Plu.); Max. 420 (ap. Plu.); *Flor. Bar.* c. 40 f. 110ʳ (ap. Plu); Plu. *Alc.* 2.3; *Mor.* 186 D; 234 D (Lacon); *Gnom. Vat.* 402 (Lamon); *App. Vat.* 2: 110 (Lacon)

426. Ἀριστοτέλης ἔφη 'ἀνδρειότερος [οἶμαι] εἶναι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν ἢ ὁ τῶν πολεμίων κρατῶν. καὶ γὰρ χαλεπώτερόν ἐστιν ἑαυτὸν νικῆσαι.'

[W] [οἶμαι] seclusi

Max. 4 p. 45 S.; Max. 4.26; Max. 4 p. 187 R.; Ant. 1.12 804 C; *Flor. Bar.* c. 40 f. 110ᵛ; Stob. 3.7.25 (Democr.); 3.17.39 (brevior; post Democr.); *Corp. Par.* f. 88ᵛ (Arist.); f. 95ᵛ (= *Exc. Par.* Democritus 37); Boissonade, 3 p. 468 (brevior; anon.) = Arist. Sent. 2 R. p. 607; = Democr. fr. B 214; B 302.200 *FVS* 68

427. Ἀγησίλαος ἔφη 'ἀνδρείας οὐδὲν ὄφελος μὴ παρούσμης δικαιοσύνης.'

[W]

Max. 5 p. 52 S.; Max. 5.26; Max. 5 p. 188 R.; Ant. 1.12 804 D; 1.13 808 A; Plu. *Ages.* 23.8; *Mor.* 190 F (Agesilaus 3); 213 C (62); Stob. 3.9.25; *Corp. Par.* f. 127ʳ

428. Ἀριστοτέλης ἔφη 'χρήματα ποιεῖσθαι μᾶλλον τῶν φίλων ἕνεκα προσήκει ἢ τοὺς φίλους τῶν χρημάτων.'

[W]

Max. 6 p. 65 S.; Max. 6.90; Max. 6 760 C; *Flor. Bar.* c. 11 f. 35ᵛ; *Corp. Par.* f. 88ᵛ = Arist. Sent. 3 R. p. 608

429. Ὁ αὐτὸς ἔφη 'ἐπιτήδειος πρὸς φιλίαν ὁ πλεῖστα δυνάμενος ἀδικεῖσθαι.'

[W]

Max. 6 p. 65 S.; Max. 6.91; Max. 6 p. 191 R; Ant. 1.24. 849 C; *Flor. Bar.* c. 11 f. 35ᵛ =Arist. Sent. 4 R. p. 608

430. Ἀντιγόνου τοῦ βασιλέως. ⟨οὗτος⟩ θύων ποτὲ τοῖς θεοῖς ηὔχετο φυλάττειν αὐτὸν ἀπὸ τῶν δοκούντων εἶναι φίλων. πυνθανομένου δέ τινος διὰ

ποίαν αἰτίαν τοιαύτην εὐχὴν ποιεῖται ἔφη 'ὅτι τοὺς ἐχθροὺς γινώσκων φυλάσσομαι.'

[W] ⟨οὗτος⟩ supplevi | θύων scripsi θύοντος cod.

Max. 6 p. 71 S.; Max. 6.136; Max. 6 761 D–764 A; *Flor. Bar.* c. 11 f. 38ʳ; *Gnom. Vat.* 107; *Wien. Apophth.* 39; *App. Gnom.* 9; *Corp. Par.* f. 147ʳ; *Gnom. Par.* 109

431. Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος 'ποῦ τοὺς θησαυροὺς ἔχεις;' δείξας τοὺς φίλους ἔφη 'ἐν τούτοις.'

[W]

Max. 6 pp. 71–72 S.; Max. 6.137 (post Antig.); Max. 6 764 A; *Flor. Bar.* c. 11 f. 36ᵛ (in mg.); f. 38ʳ (post Antig.); *Script. prog.* 4 p. 302 H.-O'N.; Amm. Marc. 25.4.15; *Corp. Par.* f. 109ʳ; *Gnom. Vat.* 86; *Wien. Apophth.* 30; *Flor. Leid.* 72; *Flor. Mon.* 73; *Gnom. Par.* 110 (post Antig.); *Gnom. Pal.* 122; *APM* Schenkl 8

432. Ἀρίστιππος κατηγορούμενος ὑπό τινος ὅτι [οὐ] προσίεται μὴ φιλούσης αὐτὸν τῆς γυναικὸς εἶπε καὶ τὸν οἶνον καὶ τὸν ἰχθὺν οἴεται μὴ φιλεῖν αὐτόν, ἀλλ' ἡδέως ἑκατέρῳ χρῆται.

[W] [οὐ] seclusi

Max. 6 pp. 72–73 S.; Max. 6.143; *Gnom. Par.* 111 = Aristipp. fr IV A 90B G. (addenda p. 775)

433. Ἀλέξανδρός τινος τῶν αὐτοῦ φίλων αἰτήσαντος αὐτὸν εἰς προῖκα τῆς θυγατρὸς ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν, αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα 'σοὶ μὲν' ἔφη 'λαβεῖν, ἐμοὶ δὲ οὐχ ἱκανὰ δέκα δοῦναι.'

[W]

Max. 8 pp. 91–92 S.; Max. 8.41; Max. 8 773 C–D; *Corp. Par.* f. 109ᵛ; *App. Gnom.* 5; *App. Vat.* 2: 16; cf. *Gnom. Par.* 13; cf. Miller 11 p. 221

434. Ὁ αὐτὸς πληρώσας ποτὲ ὀστέων πίνακα ἔπεμψε Διογένει τῷ κυνικῷ φιλοσόφῳ. ὁ δὲ λαβὼν εἶπε 'κυνικὸν μὲν τὸ βρῶμα, οὐ βασιλικὸν δὲ τὸ δῶρον.'

[W] τὸ¹ τῷ cod.

Max. 8 p. 92 S.; Max. 8.42; Max. 8 773 D; Eust. *ad Od.* 6.148 p. 1557.1 sqq.; *Gnom. Vat.* 96; *Wien. Apophth.* 1; *Flor. Leid.* 145; *Flor. Mon.* 155; *Corp. Par.* f. 146ᵛ = Diog. fr. V B 35 G.

435. Ἀλέξανδρος ἐρωτηθεὶς 'ποῖος βασιλεὺς ἄριστος;' ἔφη 'ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φιλοποιούμενος.'

[W]

Max. 9 p. 105 S.; Max. 9.44; Max. 9 p. 197 R.; Ant. 2.1. 1055 D; *Flor. Bar.* c. 29 f. 88^v (Cato); *Corp. Par.* f. 110^v; *Gnom. Vat.* 82; *Wien. Apophth.* 17; *Gnom. Par.* 122; *Gnom. Byz.* 74 (Pal. 62; Bar. 73; Leid. 42; Mon. 40) (anon.); *GB* Ath. 10; *GB* Clark. 68; *GB* Vind. 52; Boissonade, 3 p. 471 (anon.)

436. Ἀλέξανδρος τοῦ οἰνοχόου αὐτοῦ φιάλην χρυσῆν ἀπολέσαντος καὶ δι' αὐτὴν δυσφοροῦντος ἔφη 'θάρσει, ὦ παῖ. ὅπου γὰρ ἂν εἴη, ἡμετέρα ἐστίν.'

[W] αὐτὴν scripsi αὐτῆς e corr. cod.

Max. 9 p. 105 S.; Max. 9.43; Max. 9 p. 197 R.; Ant. 2.1 1005 D; *Corp. Par.* ff. 108^v–109^r; *Gnom. Vat.* 88; *Gnom. Par.* 121

437. Ἀριστοτέλης ἔφη 'ὁ πολλοῖς φοβερὸς ὢν πολλοὺς φοβεῖται.'

[W]

Max. 9 p. 106 S.; Max. 9.49; Max. 9 780 A.; Ant. 2.1 1008 A (post Sol.); *Corp. Par.* f. 88^v
= Arist. Sent. 5 R. p. 608

438. Ὁ αὐτὸς εἶπε 'δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.'

[W]

Max. 9 p. 106–107 S.; Max. 9.50; Max. 9 780 A; *Flor. Bar.* c. 28 f. 86^v; Apostol. 5.90a; Stob. 4.4.18; *Corp. Par.* f. 89^r
= Arist. *Ep.* 1 p. 172 H. (= *Ep.* 2.5 p. 44 P.); = Arist. Sent. 6 R. p. 608; = Arist. T 67 f 9 D.

439. Ἀγαθὼν εἶπε 'τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι, πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον δὲ ὅτι κατὰ νόμους ἄρχει, τρίτον ὅτι οὐκ ἀεὶ ἄρχει.'

[W]

Max. 9 p. 109 S.; Max. 9.62; Max. 9 p. 197 R.; Ant. 2.1 1005 B–C (post Democr.); *Flor. Bar.* c. 28 f. 87^r; Apostol. 5.90c; Stob. 4.5.24; *Corp.Par.* f. 121^r; *Gnom. Par.* 124
= Agathon T 26 *TrGF* 1 39 p. 161

440. Ἀντίγονος ὁ βασιλεὺς πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν ἔφη 'εἰ ᾔδεις, ὦ μῆτερ, ὅσων κακῶν μεστόν ἐστι τουτὶ τὸ ῥάκος,' δείξας τὸ διάδημα, 'οὐκ ἂν ἐπὶ κοπρίας αὐτὸ κείμενον ἐβάστασας.'

[W] αὐτὸν scripsi αὐτῷ cod. | ὅσων scripsi ὅσον cod. | κακῶν e corr. cod.

Max. 9 p. 109 S.; Max. 9.63; Max. 9 780 D; Ant. 2.1 1008 D–1009 A; Stob. 4.8.20; *Corp. Par.* f. 121^r; *Gnom. Par.* 125

441. Ἀγαπητὸς ὁ σοφὸς ἔφη 'τῇ μὲν οὐσίᾳ τοῦ σώματος ἴσος παντὸς ἀνθρώπου ὁ βασιλεύς, τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων θεῷ. οὐκ ἔχει ἐπὶ γῆς αὐτοῦ ὑψηλότερον. χρὴ τοίνυν καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι καὶ ὡς θεὸν μὴ ὀργίζεσθαι. εἰ γὰρ καὶ εἰκόνι θεϊκῇ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἁπλότητα.'

[W] κόνει scripsi εἰκόνι cod.

Max. 9 pp. 111–112 S.; Max. 9.73–74; Max. 9 781 C (Ph.); *Flor. Bar.* c. 29 f. 89^r
= Agap. *Cap. admon.* 21 (*PG*, 86: 1 1172 A)

442. Ὁ αὐτὸς ἔφη 'πειρατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ φοβερὸν θεωρεῖσθαι. τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ.'

[W]

Max. 9 p. 112 S. (Muson.); Max. 9.75 (Muson.); Max. 9 781 C–D (Muson.); Stob. 4.7.16 (Muson); *Flor. Bar.* c. 28 f. 87^r (Muson.)
= Muson. fr. 33 H. p. 122

443. Ἀντισθένης εἶπε 'τότε τὰς πόλεις ἀπόλλυσθαι συμβαίνει, ὅταν μὴ δύνωνται οἱ κρατοῦντες τοὺς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.'

[W] συμβαίνει scripsi συμβαίνειν cod.

Max. 9.77; Max. 9 781 D; Ant. 2.2 1012 C; *Flor. Bar.* c. 28 f. 87^r; D.L. 6.5; *Corp. Par.* f. 114^v
= Antisth. fr. V A 71 G.

444. Ὁ αὐτὸς ἔφη 'ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν.'

[W]

Max. 9 p. 112 S. (post Democr.); Max. 9.78; Max. 9 781 D; Ant. 2.2 1012 C; Apostol. 12.70b (Iamb.); Stob. 3.2.39 (Iamb.); 4.1.70 (Iamb.); *Corp. Par.* f. 124^v (Iamb.); *Gnom. Hom.* App. 7 (Iamb.)
= Antisth. fr. V A 76 G.; = Iamb. *Protr.* 2 p. 9.8–10 P.

445. Ἀρίστιππος ὑβριζόμενος ὑπό τινος ἀνεχώρει. τοῦ δὲ ἐπιδιώκοντος καὶ λέγοντος 'φεύγεις;' 'ναί' ἔφη 'τοῦ μὲν γὰρ κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ.'

[W]

Max. 10 p. 117 S.; Max. 10.32; Max. 10 785 B–C; Ant. 1.53 948 C; 2.69 1165 D (post Democr.); *Flor. Bar.* c. 30 f. 91^r; D.L. 2.70; Stob. 3.19.6; *Corp. Par.* f. 113^v; *Gnom. Par.* 133; *Gnom. Mon. Lat.* 35.1 p. 31 W.
= Aristipp. fr. IV A 112 G.

446. Ἀντισθένης φησὶν ‘αἱρετώτερον εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας. οἱ μὲν γὰρ ἀποθανόντος ⟨τὸ⟩ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται.’

[W] ⟨τὸ⟩ supplevi | ζῶντος τὴν ψυχὴν scripsi τὴν ζῶντος ψυχὴν cod.

Max. 11 p. 123 S.; Max. 11.33; Max. 11 792 B; Ant. 1.52 941 C; *Flor. Bar.* c. 24 f. 80ᵛ; D.L. 6.4; Stob. 3.14.17; *Corp. Par.* ff. 114ᵛ–115ʳ; Boissonade, 3 p. 467 (anon.)
= Antisth. fr. V A 131 G.

447. Ἀρίστιππος θαυμάζειν ἔλεγεν ὅτι πολλὰ μέν τις ἐσθίων, πολλὰ δὲ πίνων, πληρούμενος δὲ μηδέποτε πρὸς τοὺς ἰατροὺς βαδίζει καὶ πυνθάνεται τὸ πάθος. εἰ δέ τις ἔχων πέντε κλίνας δέκα ζητεῖ ⟨καὶ⟩ κεκτημένος δέκα τραπέζας ἑτέρας συνωνεῖται τοσαύτας, καὶ χωρίων πολλῶν ⟨παρόντων⟩ πάλιν καὶ ἀργυρίου οὐ γίνεται μεστός, ἀλλ’ ἀπλήρωτός ἐστι πάντων, πῶς οὐχὶ καὶ οὗτος οἴεται δεῖσθαι τοῦ θεραπεύσοντος καὶ δείξοντος, ὑφ’ ἧς αἰτίας τοῦτο πέπονθε;

[W] ⟨καὶ⟩ supplevi | ⟨παρόντων⟩ supplevi | θεραπεύσοντος scripsi θεράποντος cod.

Max. 12.49; Plu. *Mor.* 524 A-B
= Aristipp. fr. IV A 73 G.

448. a. Ἐπίκτητος ἔφη ‘μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.’ b. ‘εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίνωσκε, ἀλλ’ αὐτὴν τὴν δίκην.’ c. ‘καὶ γὰρ ἀσφαλὴς πᾶς τόπος τῷ ζῶντι μετὰ δικαιοσύνης.’

[W] δικάσῃς scripsi δικάσῃ cod. | εἰ βούλει τὰς κρίσεις scripsi δεῖ δὲ τὰς ὕβρεις cod. | δικαιολογούντων scripsi δικαιοδοτούντων cod.

a. Max. 5 p. 52 S. (post Agesilaum); Max. 5.27; Max. 5 753 B; Stob. 3.9.39; *Corp. Par.* f. 127ʳ⁻ᵛ
= Epict. fr. C 50 S.
b. Max. 5 p. 52 S. (post Agesilaum); Max. 5.28; Max. 5 p. 188 R.; Ant. 1.13 805 D; *Flor. Bar.* c. 5 f. 17ʳ⁻ᵛ; Stob. 3.9.40; *Corp. Par.* f. 127ᵛ
= Epict. fr. C 51 S.
c. Max. 5 p. 52 S. (post Agesilaum); Max. 5.29; Max 5 p. 188 R.; Ant. 1.13 805 D; *Flor. Bar.* c. 5 f. 17ᵛ; Jo. Georg. G 79 O. (Democr.); *Gnom. Byz.* 62 (Par. 43) (anon.)

449. Εὐάγριος ἔφη ‘⟨ἀγάπη⟩ τὰ φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει.’

[W] ⟨ἀγάπη⟩ supplevi | μόρια scripsi μύρια cod.

Max. 6 p. 57 S.; Max. 6.32; Max. 6 757 C; *Flor. Bar.* c. 7 f. 21ʳ; Jo. Dam. 1204 A; Jo. Georg. O 8 O. p. 258; *Corp. Par.* 75ʳ
= Euagrius *Sent.* 77 E.

450. Εὐριπίδης εἶπεν
ἐπίσταμαι ⟨δὲ⟩ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

[W] ⟨δὲ⟩ supplevi

Max. 6 p. 66 S.; Max. 6.102; Max. 6 p. 191 R.; Ant. 1.24 849 D; *Flor. Bar.* c. 11 f. 37ᵛ; Men. *Mon.* 854 J. (v. 2); Stob. 4.31a.11; 4.31b.39 (v. 2); *Corp. Par.* f. 138ʳ
= Eur. fr. 462 *TGF* p. 502

451. Ὁ αὐτὸς εἶπεν
ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

[W]

Clem. Al. *Strom.* 6.2.8.5–6; Apostol. 8.22; Zen. 4.4; Diogenian. 4.82a; Greg. Cypr. L 2.15; Suda s.v. A 519; cf. *GB* Ath. 57 (anon.)
= Soph. *Aj.* 665; cf. Eur. *Med.* 618

452. Ἐπίκουρος εἶπεν ‘οὐδέποτε ὠρέχθην τοῖς πολλοῖς ἀρέσκειν. ἃ μὲν γὰρ ἐκείνοις ἤρεσκον, οὐκ ἔμαθον, ἃ δ’ ᾔδειν ἐγώ, μακρὰν ἦν τῆς ἐκείνων διαθέσεως.’

[W] μακρὰν ἦν scripsi μακρὸς ὢν cod.

